μᾶλλον ὡς νῦν ἐν ταῖς πόλεσι τὸ ἐμὸν λέγουσιν; Ὁ μὲν γὰρ
υἱὸν αὐτοῦ ὁ δ' ἀδελφὸν αὐτοῦ προσαγορεύει τὸν αὐτόν, ὁ
δ' ἀνεψιὸν ἢ κατ' ἄλλην τινὰ συγγένειαν ἢ πρὸς αἵματος ἢ
κατ' οἰκειότητα καὶ κηδείαν αὐτοῦ πρῶτον ἢ τῶν αὐτοῦ,
πρὸς τούτοις[c] ἕτερος φράτορα ἢ φυλέτην. Κρεῖττον γὰρ ἴδιον
ἀνεψιὸν εἶναι ἢ τὸν τρόπον τοῦτον υἱόν. Οὐ μὴν ἀλλ' οὐδὲ 13
διαφυγεῖν δυνατὸν τὸ μή τινας ὑπολαμβάνειν ἑαυτῶν ἀδελ-
φούς τε καὶ παῖδας καὶ πατέρας καὶ μητέρας· κατὰ γὰρ τὰς
ὁμοιότητας αἳ γίνονται τοῖς τέκνοις πρὸς τοὺς γεννήσαντας
ἀναγκαῖον λαμβάνειν περὶ ἀλλήλων τὰς πίστεις. Ὅπερ
φασὶ καὶ συμβαίνειν τινὲς τῶν τὰς τῆς γῆς περιόδους πρα-
γματευομένων· εἶναι γάρ τισι τῶν ἄνω Λιβύων κοινὰς τὰς
γυναῖκας, τὰ μέντοι γινόμενα[d] τέκνα διαιρεῖσθαι κατὰ τὰς
ὁμοιότητας. Εἰσὶ δέ τινες καὶ γυναῖκες καὶ τῶν ἄλλων
ζῴων, οἷον ἵπποι καὶ βόες, αἳ σφόδρα πεφύκασιν ὅμοια

---

[a] ἐμὸν Bornemann: ὄνομα Bonitz, μὲν χ'/φα

[b] Bernays: -οντας χ'/φα

[c] ἕτερος Lindau: ἕτερον χ'/φα

[d] γινόμενα (cf. infra b 25) Richards: γενόμενα χ'/φα

---

ἐκ τῆς αὐτῆς φρατρίας (πατριὰ — ὑποδιαίρεσις ἑκάστης τῶν πρὸ τοῦ Κλεισθένους τεσσάρων φυλῶν. [18]) Πρβλ. ΗΡΟΔΟΤ. iv. 36

χιλίων πολιτῶν ἀντιστοιχοῦν χίλιοι υἱοὶ καὶ τούτων ἕκαστος οὐχὶ ἑνὸς ἑκάστου ἀλλὰ τοῦ τυχόντος, ὁ τυχὼν ὁμοίως εἶναι υἱός, πάντες ὡς σύνολον ἐξ ἴσου περὶ τῶν παίδων θὰ ἀδιαφορήσουν. Ἕκαστος πάλιν ἐπὶ μέρους τούτων θὰ λέγῃ περί τινος τῶν εὐδοκίμων ἢ κακῶς ἐχόντων παίδων, ὁσοιδήποτε τὸν ἀριθμὸν εἶναι οὗτοι, 'οὗτος εἶναι ἐμός' ἢ 'οὗτος εἶναι τοῦ δεῖνος ἢ τοῦ δεῖνος' χαρακτηρίζων ὡς πατέρα ἕνα τῶν χιλίων ἢ τῶν ἐξ ὅσων ἡ πόλις ἀποτελεῖται καὶ τοῦτο μετὰ δισταγμοῦ· διότι ἄδηλον ποίου τέκνον συνέβη νὰ γεννηθῇ καὶ γεννηθὲν νὰ ζήσῃ. Καὶ ὅμως τί ἐκ τῶν 12
δύο εἶναι καλύτερον νὰ λέγουν οἱ πολῖται 'ὁ ἰδικός μου' προσαγορεύοντες μὲ τὴν φράσιν αὐτὴν ἕκαστον τῶν δισχιλίων ἢ δεκακισχιλίων παίδων, ἢ μᾶλλον καθ' ὃν τρόπον εἰς τὰς διαφόρους πόλεις λέγοντες προσαγορεύουν τὸ ἴδιον; Διότι κατὰ τὰ νῦν, ὁ μὲν ἰδικόν του υἱόν, ὁ δὲ ἰδικόν του ἀδελφὸν πάντοτε τὸν αὐτὸν προσαγορεύει, ὁ δὲ ἀνεψιὸν ἢ δι' ἄλλου ὁμοίως ὀνόματος δηλωτικοῦ συγγενείας εἴτε τῆς ἐξ αἵματος εἴτε τῆς ἐξ ἀγχιστείας καὶ ἐπιγαμίας, αὐτοῦ πρῶτον καὶ τῶν συγγενῶν του εἶτα, πρὸς τούτοις δὲ ἄλλος ἄλλον φράτορα[17] ἢ συμφυλέτην· καὶ βεβαίως προτιμότερον εἶναι νὰ εἶναι τις κατὰ τὸν τρόπον τοῦτον ἀνεψιὸς ἢ κατ' ἐκεῖνον υἱός. Μολοντοῦτο καὶ ἐν ἐκείνῳ τῷ συστήματι δὲν 13
εἶναι δυνατὸν νὰ ἀποφευχθῇ τὸ νὰ ἀναγνωρίζουν τινὲς εἰς τὰ πρόσωπα τῶν ἄλλων ἄλλοι τοὺς ἀδελφούς των, ἄλλοι τοὺς παῖδας, ἄλλοι τοὺς πατέρας, ἄλλοι τὰς μητέρας· διότι ἡ φυσικὴ ὁμοιότης τῶν τέκνων πρὸς τοὺς γεννήτορας κατ' ἀνάγκην θὰ λαμβάνεται ὡς ἀπόδειξις τῆς μεταξύ των συγγενείας· τοῦτο δὲ μερικοὶ τῶν συγγραψάντων περιηγήσεις τῆς γῆς ἰσχυρίζονται ὅτι καὶ πράγματι συμβαίνει: ἀναφέρουν τουτέστι ὅτι εἴς τινα λαὸν τῆς ἐπάνω Λιβύης ἐπικρατεῖ κοινοκτημοσύνη τῶν γυναικῶν, τὰ τέκνα δ' ὅμως διανέμονται ἀναλόγως τῆς ὁμοιότητος[18]. Ὑπάρχουν μάλιστα θήλεά τινα τόσον τοῦ ἀνθρωπίνου γένους ὅσον καὶ τῶν ἄλλων ζώων, οἷον ἵππων καὶ βοῶν, τὰ ὁποῖα ἔχουν ἐκ

.ἀποδιδόναι τὰ τέκνα τοῖς γονεῦσιν, ὥσπερ ἡ ἐν Φαρσάλῳ κληθεῖσα Δικαία ἵππος.

4. Ἔτι δὲ καὶ τὰς τοιαύτας δυσχερείας οὐ ῥᾴδιον εὐλα- 14
βηθῆναι τοῖς ταύτην κατασκευάζουσι τὴν κοινωνίαν, οἷον
αἰκίας καὶ φόνους ἀκουσίους, τοὺς δὲ ἑκουσίους, καὶ μάχας
καὶ λοιδορίας· ὧν οὐδὲν ὅσιόν ἐστι γίνεσθαι πρὸς πατέρας
καὶ μητέρας καὶ τοὺς μὴ πόρρω τῆς συγγενείας ὄντας ὥσπερ
πρὸς τοὺς ἄπωθεν· ἀλλὰ καὶ πλεῖον συμβαίνειν ἀναγκαῖον
ἀγνοούντων ἢ γνωριζόντων, καὶ γενομένων τῶν μὲν γνωρι-
ζόντων ἐνδέχεται τὰς νομιζομένας γίνεσθαι λύσεις, τῶν δὲ
μηδεμίαν. Ἄτοπον δὲ καὶ τὸ κοινοὺς ποιήσαντα τοὺς υἱοὺς 15
τὸ συνεῖναι μόνον ἀφελεῖν τῶν ἐρώντων, τὸ δ' ἐρᾶν μὴ κωλῦσαι, μηδὲ τὰς χρήσεις τὰς ἄλλας, ἃς πατρὶ πρὸς υἱὸν εἶναι πάντων ἐστὶν ἀπρεπέστατον καὶ ἀδελφῷ πρὸς ἀδελφόν, ἐπεὶ καὶ τὸ ἐρᾶν μόνον. Ἄτοπον δὲ καὶ τὸ τὴν συνουσίαν ἀφελεῖν δι' ἄλλην μὲν αἰτίαν μηδεμίαν, ὡς λίαν δ' ἰσχυρᾶς τῆς ἡδονῆς γινομένης· ὅτι δ' ὁ μὲν πατὴρ ἢ υἱός οἱ δ' ἀδελφοὶ ἀλλήλων, μηθὲν οἴεσθαι διαφέρειν. Ἔοικε δὲ μᾶλλον τοῖς γεωργοῖς εἶναι χρήσιμον τὸ κοινὰς εἶναι τὰς γυναῖκας καὶ
1262b τοὺς παῖδας ἢ τοῖς φύλαξιν· ἧττον γὰρ ἔσται φιλία κοινῶν ὄντων τῶν τέκνων καὶ τῶν γυναικῶν, δεῖ δὲ τοιούτους εἶναι τοὺς ἀρχομένους πρὸς τὸ πειθαρχεῖν καὶ μὴ νεωτερίζειν.

---

19) = ΑΡΙΣΤ., ΙΣΤΟΡ. ΖΩΩΝ $586^{a}_{12}$ εἰσὶ δὲ καὶ γυναῖκες ἐοικότα αὐταῖς γεννῶσαι, αἱ δὲ τῷ ἀνδρί, ὥσπερ ἡ ἐν Φαρσάλῳ ἵππος ἡ Δικαία καλουμένη. (Πρβλ. τὰ ἀντιστρόφως παρ' Ἡσιόδου [ΕΡΓ. κ. ΗΜ. 182. 235] λεγόμενα, ἅπερ μαρτυροῦν καθολικήν τινα πίστιν περὶ τῆς πρὸς τὸν γεννήσαντα ὁμοιότητος τῶν γνησίων). 20) Αἱ λύουσαι ποιναὶ ἢ ἐπανορθώσεις (ποινή, ἀποζη-

φύσεως τὴν ἰδιότητα νὰ γεννῶσι τέκνα ἐξαιρετικῶς ὅμοια
πρὸς τοὺς γονεῖς των, ὡς ἡ ἐν Φαρσάλῳ φορβὰς ἡ ἐπικλη-
θεῖσα 'Δικαία' [19].
4. Ἐπὶ πλέον δὲν εἶναι εὔκολον οἱ τεχναζόμενοι μίαν 14
τοιαύτην κοινωνίαν νὰ τὴν προφυλάξουν καὶ ἀπὸ ἄλλας
ἀνωμαλίας, οἷον ἀπὸ κακώσεις καὶ φόνους ἀκουσίους καὶ
ἑκουσίους, ἀπὸ συγκρούσεις καὶ λοιδορίας — ἀπὸ ἐγκλή-
ματα τουτέστι τὰ ὁποῖα ἐπὶ τοσοῦτον ἀνοσιώτερα εἶναι, ἐφ'
ὅσον δὲν γίνονται κατὰ ξένων, ἀλλὰ κατὰ πατέρων καὶ
μητέρων καὶ τῶν ἄλλων συγγενῶν· ἀλλὰ κατ' ἀνάγκην
καὶ πολυπληθέστερα θὰ εἶναι τὰ ἐγκλήματα μεταξὺ ἀγνο-
ούντων ἢ μεταξὺ γνωριζόντων ἀλλήλους, καὶ εἰς ἣν μὲν
περίπτωσιν συμβαίνουν μεταξὺ γνωριζόντων ἀλλήλους,
ὑπάρχει πιθανότης νὰ γίνουν δεκτοὶ οἱ νενομισμένοι ἐξιλα-
σμοί [20], μεταξὺ ὅμως ἀγνοούντων ἀλλήλους, οὐδόλως. Περί- 15
εργος δὲ εἶναι ἐπίσης ἡ ἄποψις τοῦ αὐτοῦ, ὅστις ἀφοῦ
κατέστησε κοινοὺς τοὺς υἱούς, ἀπηγόρευσεν ἀπὸ τοὺς ἐρῶν-
τας τὴν συνουσίαν μόνον, ἐπέτρεψε δὲ ἀκωλύτως τὸν ἔρωτα
καὶ τὰς λοιπὰς ἐρωτικὰς πράξεις, ὧν δὲν ὑπάρχει τι ἀπρε-
πέστερον ὅταν γίνωνται παρὰ πατρὸς πρὸς υἱὸν καὶ παρ'
ἀδελφοῦ πρὸς ἀδελφόν, ἐφ' ὅσον καὶ μόνον ὁ ἔρως μεταξὺ
τῶν προσώπων τούτων εἶναι ἀπρεπής. Παράλογον ἐπίσης
εἶναι καὶ τὸ ὅτι ἀπηγόρευσε τὴν συνουσίαν, δι' ἄλλον μὲν
λόγον οὐδένα, παρὰ διότι ἡ ἐξ αὐτῆς ἡδονὴ ἀποβαίνει εἰς
τὸ ἀκρότατον· τὸ γεγονὸς δὲ ὅτι ἐρῶντες καὶ ἐρώμενοι
εἶναι πατὴρ καὶ τέκνον ἢ ἀδελφοί, ὅλως ἀδιάφορον νομίζει.
Ἀπεναντίας ἡ κοινοκτημοσύνη τῶν γυναικῶν καὶ τῶν
παίδων ὠφελιμωτέρα ὡς φαίνεται θὰ ἦτο ἐπιβαλλομένη
μᾶλλον εἰς τοὺς 'γεωργοὺς' ἢ εἰς τοὺς 'φύλακας' [21], διότι
οὕτω ἀσθενεστέρα θὰ ἦτο ἡ μεταξὺ τούτων φιλία, καὶ
τοῦτο πρέπει νὰ συμβαίνῃ εἰς τοὺς ἀρχομένους διὰ νὰ πει-
θαρχοῦν καὶ νὰ μὴ ῥέπουν εἰς στάσεις. Ἐπέρχονται λοιπὸν 16

---

μίωσις. φυγὴ ἑκουσία ἢ ἐπιβαλλομένη, καθαρμός). [21]) Περὶ τῶν

Ὅλως δὲ συμβαίνειν ἀνάγκη τοὐναντίον διὰ τὸν τοιοῦτον 16 νόμον ὧν προσήκει τοὺς ὀρθῶς κειμένους νόμους αἰτίους γίνεσθαι, καὶ δι' ἣν αἰτίαν ὁ Σωκράτης οὕτως οἴεται δεῖν τάττειν τὰ περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας. Φιλίαν τε[a] γὰρ οἰόμεθα μέγιστον εἶναι τῶν ἀγαθῶν ταῖς πόλεσιν (οὕτω γὰρ ἂν ἥκιστα στασιάζοιεν), καὶ τὸ μίαν εἶναι τὴν πόλιν ἐπαινεῖ μάλισθ' ὁ Σωκράτης, ὃ καὶ δοκεῖ κἀκεῖνος εἶναί φησι τῆς φιλίας ἔργον, καθάπερ ἐν τοῖς ἐρωτικοῖς λόγοις ἴσμεν λέγοντα τὸν Ἀριστοφάνην ὡς τῶν ἐρώντων διὰ τὸ σφόδρα φιλεῖν ἐπιθυμούντων συμφῦναι[b] καὶ γενέσθαι ἐκ δύο ὄντων ἀμφοτέρους ἕνα· ἐνταῦθα μὲν οὖν ἀνάγκη ἀμφοτέρους 17 ἐφθάρθαι ἢ τὸν ἕνα, ἐν δὲ τῇ πόλει τὴν φιλίαν ἀναγκαῖον ὑδαρῆ γίνεσθαι διὰ τὴν κοινωνίαν τὴν τοιαύτην, καὶ ἥκιστα λέγειν[c] τὸν ἐμὸν ἢ υἱὸν πατέρα ἢ πατέρα υἱόν. Ὥσπερ γὰρ μικρὸν γλυκὺ εἰς πολὺ ὕδωρ μιχθὲν ἀναίσθητον ποιεῖ τὴν κρᾶσιν, οὕτω συμβαίνει καὶ[d] τὴν οἰκειότητα τὴν πρὸς ἀλλήλους τὴν ἀπὸ τῶν ὀνομάτων τούτων, διαφροντίζειν ἥκιστα ἀναγκαῖον ὂν ἐν τῇ πολιτείᾳ τῇ τοιαύτῃ ἢ πατέρα ὡς υἱῶν ἢ υἱὸν ὡς πατρὸς ἢ ὡς ἀδελφοὺς ἀλλήλων. Δύο γάρ ἐστιν ἃ μάλιστα ποιεῖ κήδεσθαι τοὺς ἀνθρώπους καὶ φιλεῖν τό τε ἴδιον καὶ τὸ ἀγαπητόν, ὧν οὐδέτερον οἷόν τε ὑπάρχειν τοῖς οὕτω πολιτευομένοις. Ἀλλὰ μὴν καὶ περὶ τοῦ μεταφέ- 18 ρειν τὰ γινόμενα τέκνα τὰ μὲν ἐκ τῶν γεωργῶν καὶ τεχνι-

---

[a] τε om. MP, *quidem* (? γε) Guil.

[b] συμφυῆναι MPH

[c] διώκειν H : an δὴ οἰκειοῦν pro λέγειν τὸν ἐμὸν ? Immisch

[d] κατὰ Lambinus, καὶ κατὰ Bernays

---

τάξεων τῆς Πλατωνικῆς Πολιτείας, ΕΙΣΑΓ. II[11] § 9, I) iv. [22])=

κατ᾽ ἀνάγκην ἐκ τοῦ τοιούτου θεσμοῦ ἀποτελέσματα ὅλως ἀντίθετα ἐκείνων τὰ ὁποῖα πρέπει οἱ ὀρθῶς κείμενοι θεσμοὶ νὰ ἀποφέρουν, ὅλως ἀντίθετα δὲ καὶ πρὸς τὸν σκοπὸν δι᾽ ὃν ὁ Σωκράτης νομίζει ὅτι οὕτω πρέπει νὰ διαρρυθμισθοῦν τὰ περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας: παραδεχόμεθα δηλαδὴ ὅτι εἶναι μέγιστον ἐκ τῶν ἀγαθῶν διὰ τὰς πόλεις ἡ φιλία —(διότι οὕτω ἥκιστα θὰ ῥέπουν εἰς στάσεις οἱ πολῖται)— καὶ ὁ Σωκράτης ἀφ᾽ ἑτέρου τὰ μάλιστα ἐπαινεῖ τὴν τελείαν εἰς ἓν ἑνότητα τῆς πόλεως, τὴν ὁποίαν καὶ ὡς πιστεύομεν καὶ ὡς καὶ ἐκεῖνος λέγει, ἡ φιλία κατεργάζεται — ὡς ἀκριβῶς καὶ εἰς τὴν περὶ ἔρωτος συζήτησιν[22] γνωρίζομεν τὸν ᾽Αριστοφάνη λέγοντα, ὅτι οἱ ἐρῶντες λόγῳ τῆς ζωηρᾶς πρὸς ἀλλήλους ἀγάπης ἐπιθυμοῦν ὀργανικῶς νὰ κολληθοῦν καὶ ἀμφότεροι ἐκ δύο νὰ γίνουν ἓν σῶμα· ἀλλ᾽ εἰς τὴν περίπτωσιν αὐτὴν κατ᾽ ἀνάγκην ἀμφότεροι 17
θὰ καταστραφοῦν ἢ ὁ εἷς ἐξ αὐτῶν, προκειμένου δὲ περὶ τῆς πόλεως κατ᾽ ἀνάγκην ἡ φιλία θὰ καταντήσῃ ὑδαρὴς λόγῳ τῆς συνθέσεως τῆς τοιαύτης κοινωνίας καὶ ὀλίγον κατ᾽ ὀλίγον θὰ ἐγκαταλειφθοῦν καὶ αἱ ἐκφράσεις ʽὁ πατήρ μου᾽ καὶ ʽὁ υἱός μου᾽. Διότι ὡς ἀκριβῶς ὀλίγον γλυκὺ ἀναμιγνυόμενον μὲ πολὺ ὕδωρ καθιστᾷ ἀνεπαίσθητον τὴν μῖξιν, οὕτω θὰ συμβῇ καὶ διὰ τὴν πρὸς ἀλλήλους στοργὴν τὴν διὰ τῶν ὀνομάτων τούτων ἐκφραζομένην, καθ᾽ ὅσον κατ᾽ ἀνάγκην ὅσον ἥκιστα θὰ φροντίζῃ τις ἐν τῇ τοιαύτῃ πολιτείᾳ εἴτε ὡς πατὴρ περὶ υἱῶν εἴτε ὡς υἱὸς περὶ πατρὸς εἴτε ὡς ἀδελφοὶ περὶ ἀλλήλων. Διότι δύο εἶναι τὰ κύρια κίνητρα τῆς φροντίδος καὶ τῆς ἀγάπης τῶν ἀνθρώπων, ἡ ἰδιοκτησία καὶ ἡ οἰκογενειακὴ στοργή, ὧν οὔτε τὸ ἓν οὔτε τὸ ἄλλο εἶναι δυνατὸν νὰ ὑπάρχῃ ἐν τοιαύτῃ πολιτείᾳ. ᾽Αλλὰ 18
καὶ τὰ λεγόμενα[23] περὶ τῆς μεταφορᾶς τῶν γεννωμένων τέκνων, τῶν ἐκ τῶν ʽγεωργῶν᾽ καὶ τῶν ʽτεχνιτῶν᾽ εἰς τὴν

---

ΠΛΑΤ., ΣΥΜΠ. 191c. [23])=ΠΛΑΤ., ΠΟΛΙΤ., 415 bc, 423c (πρβλ. 468a).

*τῶν εἰς τοὺς φύλακας τὰ δ' ἐκ τούτων εἰς ἐκείνους, πολλὴν ἔχει ταραχὴν τίνα ἔσται τρόπον· καὶ* [a] *γινώσκειν ἀναγκαῖον τοὺς διδόντας καὶ μεταφέροντας τίσι τίνας διδόασιν. Ἔτι δὲ καὶ τὰ πάλαι λεχθέντα μᾶλλον ἐπὶ τούτων ἀναγκαῖον συμβαίνειν, οἷον αἰκίας ἔρωτας φόνους· οὐ γὰρ ἔτι προσαγορεύσουσιν* [b] *ἀδελφοὺς καὶ τέκνα καὶ πατέρας καὶ μητέρας τοὺς φύλακας οἵ τε εἰς τοὺς ἄλλους πολίτας δοθέντες καὶ πάλιν οἱ παρὰ τοῖς φύλαξιν τοὺς* [c] *ἄλλους πολίτας, ὥστ' εὐλαβεῖσθαι τῶν τοιούτων τι πράττειν διὰ τὴν συγγένειαν.*

*Περὶ μὲν οὖν τῆς περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας κοινωνίας διωρίσθω τὸν τρόπον τοῦτον.*

*II Ἐχόμενον δὲ τούτων ἐστὶν ἐπισκέψασθαι περὶ τῆς* II
*κτήσεως, τίνα τρόπον δεῖ κατασκευάζεσθαι τοῖς μέλλουσι πολιτεύεσθαι τὴν ἀρίστην πολιτείαν, πότερον κοινὴν ἢ μὴ κοινὴν εἶναι τὴν κτῆσιν. Τοῦτο δ' ἄν τις καὶ χωρὶς σκέψαιτο ἀπὸ τῶν περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας νενομοθετημένων·*
**1263a** *λέγω [δὲ τὰ περὶ τὴν κτῆσιν]* [d] *πότερον, κἂν ᾖ ἐκεῖνα χωρὶς καθ' ὃν νῦν τρόπον ἔχει πᾶσι, τάς τε κτήσεις κοινὰς εἶναι βέλτιον καὶ τὰς χρήσεις* ***, [e] *οἷον τὰ μὲν γήπεδα χωρὶς*

---

[a] *καὶ ⟨γὰρ⟩* Bernays
[b] *προσαγορεύσουσιν* Κοραῆς *-εύουσι* χ'/φα
[c] *τοὺς* ΓΜΡ : *εἰς τοὺς* λοιποί
[d] Susemihl
[e] χάσμα κατὰ τὸν Busse.

---

ΚΕΦ. ΙΙ. § 1-2 Περὶ τῶν διαφόρων συστημάτων κοινοκτημοσύνης τῶν ἀγαθῶν· § 3 περὶ τῶν δυσχερειῶν τῆς ἀπολύτου κοινοκτημοσύνης θέσις· § 4-5 περὶ τοῦ κρατοῦντος ὡς ἀρίστου ἀποβαίνοντος διὰ καταλλήλου ἀγωγῆς τῶν πολιτῶν καὶ διὰ τῆς νομοθεσίας· § 6-7 ὅτι καταλύει ἡ κοινοκτημοσύνη ἠθικὰς ἀρετάς· § 8-9 ὅτι ἡ ἰδιοκτησία δὲν εἶναι ἡ αἰτία τῶν κοινωνικῶν κακῶν· § 10 ὅτι διὰ τῆς ἐκπαιδεύσεως ἐξομαλύνονται αἱ κοινωνικαὶ ἀνωμαλίαι· §

τάξιν τῶν 'φυλάκων' καὶ τῶν τούτων εἰς τὴν τάξιν ἐκείνων πολὺ συγκεχυμένα εἶναι ὅσον ἀφορᾶ τὸν τρόπον καθ' ὃν ἡ τοιαύτη μεταφορὰ θὰ γίνεται· διότι κατ' ἀνάγκην θὰ γνωρίζουν οἱ δίδοντες καὶ μεταφέροντες ποίους καὶ εἰς ποίους δίδουν. Ἀλλὰ καὶ τὰ προμνημονευθέντα ἤδη κακά, οἷον κακώσεις, ἔρωτες, φόνοι, κατ' ἀνάγκην περισσότερον μεταξὺ τούτων θὰ συμβαίνουν· διότι δὲν θὰ προσαγορεύωσιν ἀδελφοὺς καὶ τέκνα καὶ πατέρας καὶ μητέρας τοὺς φύλακας οἱ ἐκ τούτων δοθέντες εἰς ἄλλην τάξιν πολιτῶν, οὔτε οἱ καταταχθέντες μεταξὺ τῶν φυλάκων τοὺς ἄλλους πολίτας, ὥστε νὰ μὴ ἀποτολμοῦν, λόγῳ τῆς συγγενείας, νὰ πράξουν τι τῶν τοιούτων ἐγκλημάτων. Καὶ περὶ τοῦ θεσμοῦ λοιπὸν τῆς κοινοκτημοσύνης τῶν τέκνων καὶ τῶν γυναικῶν, ἀρκετὰ τὰ ἀνωτέρω καθορισθέντα.

5 ΚΕΦ. II Ἐν συνεχείᾳ τῶν ἀνωτέρω ἀνάγκη νὰ 1
ἐξετάσωμεν καὶ τὰ περὶ τῆς ἰδιοκτησίας, κατὰ τίνα τρόπον πρέπει νὰ διαρρυθμίσουν τὰ κατ' αὐτὴν οἱ μέλλοντες νὰ συνταχθοῦν ὑπὸ τὸ ἄριστον πολίτευμα, τί ἐκ τῶν δύο τουτέστι πρέπει νὰ προτιμήσουν, νὰ εἶναι κοινὰ τὰ κτήματα ἢ ὄχι. Τοῦτο δὲ δύναταί τις νὰ ἐξετάσῃ καὶ ἀνεξαρτήτως τῶν περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας νομοθετημένων [1]. Ὁμιλῶν δὲ περὶ τῆς ἰδιοκτησίας ἐν σχέσει πρὸς ταῦτα, θέτω τὸ ζήτημα, ἐάν, καὶ εἰς ἣν περίπτωσιν ἔχουν ταῦτα ὡς νῦν παρ' ἅπασιν ἔχουν [2], εἶναι καλύτερον νὰ εἶναι καὶ αἱ κτήσεις καὶ αἱ χρήσεις κοινὰ < ? ἢ τὸ ἓν μόνον τούτων; Εἶναι καλύτερον δηλαδὴ νὰ εἶναι τὰ κτή-

---

11-16 ἄλλα τρωτὰ τοῦ ὑπὸ τοῦ Σωκράτους ὑποτυπουμένου συστήματος.

[1]) Ἀποδειχθέντος τοῦ θεσμοῦ τῆς κοινοκτημοσύνης τῶν γυναικῶν καὶ τῶν τέκνων ὡς ἀνεφαρμόστου, δὲν ἕπεται ὅτι ἐλύθη καὶ τὸ ζήτημα τῆς κοινοκτημοσύνης τῶν ἀγαθῶν. Ὁ Ἀριστοτέλης θέτει γενικώτερον καὶ ἀνεξαρτήτως τὸ ζήτημα, διότι σκοπὸς αὐτοῦ εἶναι νὰ ἐρευνήσῃ τοῦτο διὰ τὰς ἰδίας θεωρίας καὶ ἐν τῇ προόδῳ νὰ ἀσκήσῃ κριτικὴν τοῦ Πλατωνικοῦ συστήματος.

[2]) Τουτέστι, ὑπὸ τὸ καθεστὼς τῶν ἰδίων γυναικῶν καὶ παίδων.

*τοὺς δὲ καρποὺς εἰς τὸ κοινὸν φέροντας ἀναλίσκειν (ὅπερ*
*ἔνια ποιεῖ τῶν ἐθνῶν), ἢ τοὐναντίον τὴν μὲν γῆν κοινὴν*
*εἶναι καὶ γεωργεῖν κοινῇ, τοὺς δὲ καρποὺς διαιρεῖσθαι*
*πρὸς τὰς ἰδίας χρήσεις (λέγονται δέ τινες καὶ τοῦτον τὸν*
*τρόπον κοινωνεῖν τῶν βαρβάρων), ἢ καὶ τὰ γήπεδα καὶ*
*τοὺς καρποὺς κοινούς. Ἑτέρων μὲν οὖν ὄντων τῶν γεωργούν-* 2
*των ἄλλος ἂν εἴη τρόπος καὶ ῥᾴων, αὐτῶν δ' αὐτοῖς δια-*
*πονούντων τὰ περὶ τὰς κτήσεις πλείους ἂν παρέχοι δυσκο-*
*λίας· καὶ γὰρ ἐν ταῖς ἀπολαύσεσι καὶ ἐν τοῖς ἔργοις μὴ γινο-*
*μένων ἴσων ἀναγκαῖον ἐγκλήματα γίνεσθαι πρὸς τοὺς ἀπολαύ-*
*οντας μὲν ἢ λαμβάνοντας πολλὰ ὀλίγα δὲ πονοῦντας τοῖς ἐλάτ-*
*τω μὲν λαμβάνουσι πλείω δὲ πονοῦσιν. Ὅλως δὲ τὸ συζῆν καὶ* 3
*κοινωνεῖν τῶν ἀνθρωπικῶν πάντων χαλεπόν, καὶ μάλιστα*
*τῶν τοιούτων. Δηλοῦσι δ' αἱ τῶν συναποδήμων κοινωνίαι,*
*σχεδὸν γὰρ οἱ πλεῖστοι διαφέρονται* [a] *ἐκ τῶν ἐν ποσὶ καὶ ἐκ*
*μικρῶν προσκρούοντες ἀλλήλοις· ἔτι δὲ τῶν θεραπόντων τού-*
*τοις μάλιστα προσκρούομεν οἷς πλεῖστα προσχρώμεθα πρὸς*
*τὰς διακονίας τὰς ἐγκυκλίους. Τὸ μὲν οὖν κοινὰς εἶναι τὰς*
*κτήσεις ταύτας τε καὶ ἄλλας τοιαύτας ἔχει δυσχερείας, ὃν δὲ* 4
*νῦν τρόπον ἔχει καὶ* [b] *ἐπικοσμηθὲν ἤθεσι καὶ τάξει νόμων*
*ὀρθῶν οὐ μικρὸν ἂν διενέγκαι· ἕξει γὰρ τὸ ἐξ ἀμφοτέρων*
*ἀγαθόν, λέγω δὲ τὸ ἐξ ἀμφοτέρων τὸ ἐκ τοῦ κοινὰς εἶναι*

---

[a] *διαφέρονται* Κοραῆς : *διαφερόμενοι* χ'/φα

[b] *καὶ* ἐκπίπτει στὰ ΓΜΡ$^1$Η.

---

3)=ΕΙΣΑΓ. IV$^{12}$. 4)= ΕΙΣΑΓ. IV$^{6}$. 5) Ὡς οἱ εἵλωτες ἐν Σπάρτῃ, οἱ Περίοικοι ἐν Κρήτῃ, οἱ Πενέσται ἐν Θεσσαλίᾳ. Εἶναι δὲ εὐχερέστερον τὸ σύστημα τοῦτο διότι ἐφ' ὅσον ἐπικρατοῦν τῶν τρεφόντων οἱ τρεφόμενοι οὐδεμία δυσχέρεια ἢ ἀνωμαλία παρεμβαίνει. 6) Τοῦτο τὸ νόημα νομίζομεν ὅτι ὑπόκειται·

ματα ἰδιόκτητα καὶ αἱ χρήσεις κοιναί,>* οἷον, (1) αἱ μὲν
γαῖαι νὰ ἀνήκουν εἰς ἕνα ἕκαστον κατὰ κλήρους, οἱ καρποὶ
ὅμως νὰ φέρωνται πρὸς κοινὴν κατανάλωσιν (ὅπερ ἐπικρα-
τεῖ εἴς τινα τῶν ἐθνῶν[3]), ἢ (2) τοὐναντίον, ἡ μὲν γῆ νὰ
εἶναι κοινὴ καὶ ἀπὸ κοινοῦ νὰ καλλιεργοῦν ταύτην, οἱ δὲ
καρποὶ νὰ καταμερίζωνται εἰς τοὺς πολίτας πρὸς ἀτομικὴν
παρ' ἑκάστου χρῆσιν, (ἰσχυρίζονται δέ τινες ὅτι καὶ τὸ
σύστημα τοῦτο ἐπικρατεῖ εἴς τινας τῶν βαρβάρων[4]), ἢ (3)
καὶ αἱ γαῖαι καὶ οἱ καρποὶ νὰ εἶναι κοινοί; Ἤδη, ἐὰν οἱ 2
ἰδιοκτῆται τῆς γῆς ἀνήκουν εἰς ἄλλην τάξιν καὶ εἰς ἄλλην
οἱ καλλιεργοῦντες[5], πρόκειται περὶ συστήματος ἄλλου καὶ
εὐχερεστέρου· εἰς ἣν ὅμως περίπτωσιν αὐτοὶ οὗτοι οἱ ἰδιο-
κτῆται εἶναι καὶ οἱ περὶ τὰ κτήματα μοχθοῦντες, αἱ προ-
κύπτουσαι ἀνωμαλίαι εἶναι σοβαραὶ καὶ περισσότεραι· διότι
ἀνίσων ἀποβαινόντων τῶν πολιτῶν εἰς τὰς ἀπολαύσεις καὶ
τὴν ἐργασίαν, κατ' ἀνάγκην θὰ συγκρούωνται πρὸς τοὺς
ἀπολαύοντας ἢ λαμβάνοντας πολλὰ ὀλίγον δὲ ἐργαζομένους
οἱ ὀλιγώτερα λαμβάνοντες περισσότερον δὲ ἐργαζόμενοι.
Ἡ πλήρης ὅμως μετ' ἀπολύτου κοινοκτημοσύνης συμβίω- 3
σις εἶναι ἐκ πάντων τῶν ἀνθρωπίνων ἐπιχειρήσεων ἡ
δυσκολωτάτη καὶ μάλιστα τῶν κοινωνικῶν[6]. Πιστοποιεῖ
δὲ τοῦτο ἡ πρὸς ἀλλήλους διαγωγὴ τῶν ὁμαδικῶς μετανα-
στευόντων· οὗτοι συγκρούονται διὰ τὰ προστυχόντα καὶ
πλέον εὐτελῆ τῶν πραγμάτων. Ἐπὶ πλέον πρὸς ἐκείνους
τῶν ὑπηρετῶν ἐρχόμεθα τὸ πλεῖστον εἰς διένεξιν, τοὺς
ὁποίους περισσότερον μεταχειριζόμεθα διὰ τὰς συνήθεις
οἰκιακὰς ὑπηρεσίας. Ἡ κοινοκτημοσύνη λοιπὸν τῶν ἀγα-
θῶν ταύτας καὶ ἄλλας τοιαύτας παρέχει δυσχερείας· τὸ ἐπι- 4
κρατοῦν ὅμως σήμερον σύστημα ἐὰν εὐκόσμως διηυθετεῖτο
δι' ἀγαθῶν ἠθῶν καὶ διὰ τῶν ἐπιταγῶν ὀρθῶν νόμων, θὰ
ἀπεδεικνύετο μεγάλως ἀνώτερον· διότι οὕτω θὰ ἔχῃ ἀμφο-
τέρων τὰ πλεονεκτήματα, ἐννοῶ δὲ τὰ πλεονεκτήματα,

*)) Συμπληροῦμεν κατὰ τὴν πιθανὴν ἔννοιαν.

*τὰς κτήσεις καὶ τὸ ἐκ τοῦ ἰδίας. Δεῖ γὰρ πῶς μὲν εἶναι
κοινάς, ὅλως δ' ἰδίας. Αἱ μὲν γὰρ ἐπιμέλειαι διῃρημέναι τὰ
ἐγκλήματα πρὸς ἀλλήλους οὐ ποιήσουσιν, μᾶλλον δ'* [a] *ἐπι-
δώσουσιν ὡς πρὸς ἴδιον ἑκάστου προσεδρεύοντος· δι' ἀρε-
τὴν δ' ἔσται πρὸς τὸ χρῆσθαι κατὰ τὴν παροιμίαν κοινὰ
τὰ φίλων. Ἔστι δὲ καὶ νῦν τὸν τρόπον τοῦτον ἐν ἐνίαις πό-* 5
*λεσιν οὕτως ὑπογεγραμμένον ὡς οὐκ ὂν ἀδύνατον, καὶ μά-
λιστα ἐν ταῖς καλῶς οἰκουμέναις τὰ μὲν ἔστι τὰ δὲ γένοιτ'
ἄν· ἰδίαν γὰρ ἕκαστος τὴν κτῆσιν ἔχων τὰ μὲν χρήσιμα
ποιεῖ τοῖς φίλοις τοῖς δὲ χρῆται κοινοῖς,* [b] *οἷον καὶ ἐν Λα-
κεδαίμονι τοῖς τε δούλοις χρῶνται τοῖς ἀλλήλων ὡς εἰπεῖν
ἰδίοις, ἔτι δ' ἵπποις καὶ κυσίν, κἂν δεηθῶσιν ἐφοδίων ἐν
τοῖς ἀγροῖς* [c] *κατὰ τὴν χώραν.* [d] *Φανερὸν τοίνυν ὅτι βέλτιον
εἶναι μὲν ἰδίας τὰς κτήσεις τῇ δὲ χρήσει ποιεῖν κοινάς·
ὅπως δὲ γίνωνται τοιοῦτοι, τοῦ νομοθέτου τοῦτ' ἔργον ἴδιόν
ἐστιν. Ἔτι δὲ καὶ πρὸς ἡδονὴν ἀμύθητον ὅσον διαφέρει τὸ* 6
**1263b** *νομίζειν ἴδιόν τι· μὴ γὰρ οὐ μάτην τὴν πρὸς αὑτὸν αὐτὸς
ἔχει φιλίαν ἕκαστος ἀλλ' ἔστι τοῦτο φυσικόν. Τὸ δὲ φίλαυτον
εἶναι ψέγεται δικαίως· οὐκ ἔστι δὲ τοῦτο τὸ φιλεῖν ἑαυτὸν
ἀλλὰ τὸ μᾶλλον ἢ δεῖ φιλεῖν, καθάπερ καὶ τὸν φιλοχρήμα-
τον, ἐπεὶ φιλοῦσί γε πάντες ὡς εἰπεῖν ἕκαστον τῶν τοιού-
των. Ἀλλὰ μὴν καὶ τὸ χαρίσασθαι καὶ βοηθῆσαι φίλοις ἢ*

---

[a] *τε?* Susemihl
[b] *κοινοῖς* μετὰ τὸ 37 *ἰδίοις* νὰ μεταφερθῇ; Richard
[c] *ταῖς ἄγραις* Busse
[d] *θήραν* Buecheler

---

ἄλλοι ἄλλως ἀποδίδουν. [7] Ἀποδίδεται εἰς τὸν Πυθαγόραν. Πρβλ. καὶ ΗΘΙΚ. ΝΙΚΟΜ. VIII. ix. 1. [8] Εὔλογος φαίνεται ἡ ὑπὸ τοῦ Buecheler διόρθωσις τοῦ '*χώραν*' εἰς '*θήραν*'. [9] Ταῦτα καὶ ἐν σχέσει πρὸς τὸ ἀνωτέρω λεχθὲν ὅτι ἔργον τοῦ νομοθέτου εἶναι πῶς θὰ καταστῇ βαθμηδὸν κοινὴ ἡ χρῆσις τῶν ἰδίων κτημάτων· διὰ τῆς καταλλήλου ἀγωγῆς ὁ νομοθέτης θὰ περιορίζῃ εἰς τὸ

τῆς κοινοκτημοσύνης καὶ τῆς ἰδιοκτησίας. Διότι πρέπει
μὲν νὰ εἶναι ἔν τινι μέτρῳ τὰ ἀγαθὰ κοινά, πράγματι
ὅμως ἀπολύτου ἰδιοκτησίας ἑκάστου· ἤτοι: ἡ ἐργασία ἐπὶ
τούτων νὰ γίνεται χωριστὰ παρ᾽ ἑκάστου ἐπὶ τοῦ ἰδίου
κτήματος, διότι οὕτω καὶ αἱ πρὸς ἀλλήλους διενέξεις θὰ
ἀποφεύγωνται καὶ μεγαλυτέρα φροντὶς παρ᾽ ἑκάστου θὰ
καταβάλλεται μὲ τὴν ἰδέαν ὅτι ἐπὶ τοῦ ἰδίου ἐργάζεται,
διὰ τῆς καλλιεργείας δὲ τῆς ἀξιοπρεπείας τῶν πολιτῶν νὰ
κατασταθῇ κοινὴ ἡ χρῆσις τῶν κτημάτων, κατὰ τὴν
παροιμίαν[7] «κοινὰ τὰ τῶν φίλων». Ἄλλωστε καὶ σήμερον 5
ἐπικρατοῦν τοιαῦτα ἔθιμα εἴς τινας πόλεις, καθ᾽ ὅσον δὲν
εἶναι ἐκ τῶν ἀπραγματοποιήτων, καὶ μάλιστα εἰς τὰς καλῶς
ἐρρυθμισμένας εἶναι ἤδη καθιερωμένα ἢ τείνουν νὰ καθιε-
ρωθοῦν· ἕκαστος δηλαδὴ ἔχων ὑπὸ τὴν ἀπόλυτον ἰδιοκτη-
σίαν του τὰ ἴδια, ἄλλα μὲν παρέχει πρὸς χρῆσιν εἰς τοὺς
φίλους του, ἄλλα δὲ διαθέτει πρὸς κοινὴν χρῆσιν, ὡς ἐπὶ
παραδείγματι ἐν Λακεδαίμονι, ἔνθα οἱ πολῖται μεταχει-
ρίζονται τοὺς δούλους ἀλλήλων, οὕτως εἰπεῖν, ὡς ἰδίους,
ἐπὶ πλέον δὲ καὶ τοὺς ἵππους καὶ τοὺς κύνας, καὶ ὅσα
τυχὸν χρειασθοῦν ἐπιτήδεια λαμβάνουν ἐκ τῶν ἀγρῶν ἀνὰ
τὴν χώραν[8]. Φανερὸν λοιπὸν εἶναι ὅτι καλύτερον εἶναι τὰ
κτήματα νὰ εἶναι ἰδιόκτητα μέν, ἔν τινι μέτρῳ δὲ κοινό-
χρηστα· πῶς δὲ θὰ γίνουν τοιαῦτα, τοῦτο εἶναι ἔργον τοῦ
νομοθέτου. Ἀλλὰ διαφέρει τοῦτο τὸ σύστημα μεγάλως καὶ 6
διὰ τὴν ἄρρητον ἐκείνην ἀγαλλίασιν τὴν ὁποίαν γεννᾶ ἡ
συνείδησις πράγματός τινος ὡς ἰδίου· δὲν πρέπει δὲ ὡς
ματαιότητα νὰ ψέγωμεν τὴν ἀγάπην τὴν ὁποίαν ἕκαστος
τρέφει διὰ τὸν ἑαυτόν του, καθ᾽ ὅσον εἶναι φυσικὴ ἡ διά-
θεσις αὕτη. Ἀπεναντία δικαίως κατακριτέα εἶναι ἡ φιλαυ-
τία· διότι δὲν εἶναι πλέον αὕτη ἡ πρὸς ἑαυτὸν ἀγάπη, ἀλλ᾽
ἡ ὑπὲρ τὸ μέτρον τοιαύτη, ὡς καὶ ἡ φιλοχρηματία, ἥτις
εἶναι ἡ ὑπὲρ τὸ μέτρον ἀγάπη τοῦ χρήματος — διότι ἄλλως,
φυσικὴ εἶναι οὕτως εἰπεῖν ἡ πρὸς ἑαυτὸν καὶ τὸ χρῆμα
καὶ τὰ τοιαῦτα ἀγάπη[9]. Ἀλλ᾽ ὅμως καὶ τὸ νὰ εὐεργετήσῃ

*ξένοις ἢ ἑταίροις ἥδιστον· ὃ γίνεται τῆς κτήσεως ἰδίας οὔ-*
*σης. Ταῦτά τε δὴ οὐ συμβαίνει τοῖς λίαν ἓν ποιοῦσι τὴν πό-* 7
*λιν, καὶ πρὸς τούτοις ἀναιροῦσιν ἔργα δυοῖν ἀρεταῖν φανε-*
*ρῶς, σωφροσύνης μὲν τὸ περὶ τὰς γυναῖκας (ἔργον γὰρ κα-*
*λὸν ἀλλοτρίας οὔσης ἀπέχεσθαι διὰ σωφροσύνην), ἐλευθε-*
*ριότητος δὲ τὸ περὶ τὰς κτήσεις (οὔτε γὰρ ἔσται φανερὸς*
*ἐλευθέριος ὢν οὔτε πράξει πρᾶξιν ἐλευθέριον οὐδεμίαν· ἐν*
*γὰρ τῇ χρήσει τῶν κτημάτων τὸ τῆς ἐλευθεριότητος ἔργον*
*ἐστίν). Εὐπρόσωπος μὲν οὖν ἡ τοιαύτη νομοθεσία, καὶ φι-* 8
*λάνθρωπος ἂν εἶναι δόξειεν· ὁ γὰρ ἀκροώμενος ἄσμενος*
*ἀποδέχεται, νομίζων ἔσεσθαι φιλίαν τινὰ θαυμαστὴν πᾶσι*
*πρὸς ἅπαντας, ἄλλως τε καὶ ὅταν κατηγορῇ τις τῶν νῦν*
*ὑπαρχόντων ἐν ταῖς πολιτείαις κακῶν ὡς γινομένων διὰ τὸ*
*μὴ κοινὴν εἶναι τὴν οὐσίαν, λέγω δὲ δίκας τε πρὸς ἀλλή-*
*λους περὶ συμβολαίων καὶ ψευδομαρτυριῶν κρίσεις καὶ*
*πλουσίων κολακείας. Ὧν οὐδὲν γίνεται διὰ τὴν ἀκοινωνη-* 9
*σίαν ἀλλὰ διὰ τὴν μοχθηρίαν, ἐπεὶ καὶ τοὺς κοινὰ κεκτημέ-*
*νους καὶ κοινωνοῦντας πολλῷ διαφερομένους μᾶλλον ὁρῶ-*
*μεν ἢ τοὺς χωρὶς τὰς οὐσίας ἔχοντας· ἀλλὰ θεωροῦμεν ὀλί-*
*γους τοὺς ἐκ τῶν κοινωνιῶν διαφερομένους πρὸς πολλοὺς*
*συμβάλλοντες τοὺς κεκτημένους ἰδίᾳ τὰς κτήσεις. Ἔτι δὲ*
*δίκαιον μὴ μόνον λέγειν ὅσων στερήσονται κακῶν κοινωνή-*
*σαντες, ἀλλὰ καὶ ὅσων ἀγαθῶν· φαίνεται δ' εἶναι πάμπαν*
*ἀδύνατος ὁ βίος.*

*Αἴτιον δὲ τῷ Σωκράτει τῆς παρακρούσεως χρὴ νομίζειν τὴν ὑπόθεσιν οὐκ οὖσαν ὀρθήν. Δεῖ μὲν γὰρ εἶναί πως μίαν*

---

φυσικὸν μέτρον πάντοτε τὴν πρὸς ἑαυτὸν καὶ πρὸς τὸ χρῆμα φυσικὴν ἄλλωστε ἀγάπην. [10]) Τῆς εἰσαγωγῆς ὑπ' αὐτοῦ τῆς κοινοκτημοσύνης. Παρατηρητέον ὅτι τὸν Πλάτωνα ἐπικρίνων οὐδαμοῦ τὸν Πλάτωνα κατονομάζει, ἀλλὰ πάντοτε τὸ κύριον τῶν

τις καὶ νὰ συνδράμῃ ἐν τῇ ἀνάγκῃ τοὺς οἰκείους ἢ τοὺς
μεθ' οὓς διὰ ξενίας συνδέεται ἢ τοὺς φίλους εἶναι γλυκυ-
τάτη εὐχαρίστησις. — Ταῦτα ὅμως πάντα μόνον ὑπὸ τὸ
καθεστὼς τῆς ἰδιοκτησίας εἶναι δυνατὸν νὰ συμβαίνουν.
Συνεπῶς δὲν εἶναι δυνατὸν νὰ γεννῶνται τοιαῦτα συναι- 7
σθήματα παρὰ τοῖς πολίταις τῆς ἐπὶ μᾶλλον 'μιᾶς' γινομέ-
νης πόλεως, καὶ πρὸς τούτοις καταλύονται ἐν τῇ τοιαύτῃ
πολιτείᾳ καὶ αἱ ἔμπρακτοι ἐκδηλώσεις δύο ἀρετῶν, τῆς
σωφροσύνης μὲν περὶ τὰς γυναῖκας — (διότι εἶναι ὡραία
πράγματι πρᾶξις ἡ ἐκ σωφροσύνης ἀποχὴ ἀπὸ τῆς γυναι-
κὸς τοῦ ἄλλου) —, τῆς ἐλευθεριότητος δὲ περὶ τὰ ὑπάρ-
χοντα — (διότι εἶναι ἀδύνατον ὁ ἐλευθέριος νὰ ἐκδηλωθῇ
καὶ νὰ πράξῃ πρᾶξιν τινα ἐλευθέριον· διότι ἡ ἐλευθεριότης
ἐκδηλοῦται ἐν τῇ χρήσει τῶν ἰδίων πραγμάτων). Ἡ τῆς 8
κοινοκτημοσύνης θεωρία γοητευτικὴ καὶ φιλάνθρωπος
βεβαίως θὰ ἠδύνατο νὰ θεωρηθῇ· ὁ ἀκούων βεβαίως αὐτὴν
μετὰ μεγάλης προθυμίας τὴν ἀποδέχεται, νομίζων ὅτι δι'
αὐτῆς ἐπιτυγχάνεται ἀξιοθαύμαστος πάντων πρὸς πάντας
φιλία, καὶ μάλιστα ὅταν ἀκούῃ κατακρινόμενα τὰ ὑπὸ τὸ
νῦν ἐπικρατοῦν ἐν ταῖς πολιτείαις σύστημα ἄτοπα ὡς προ-
ερχόμενα ἐκ τῆς ἰδιοκτησίας, ἐννοῶ δὲ τὰς μεταξὺ τῶν
πολιτῶν δίκας περὶ τῶν συμβάσεων καὶ τας περὶ ψευδομαρ-
τυριῶν κρισοδικίας καὶ τὰς πρὸς τοὺς πλουσίους κολακείας.
Ἐκ τούτων ὅμως οὐδὲν ἔχει αἰτίαν τὴν μὴ κοινοκτημο- 9
σύνην ἀλλὰ τὴν ἐξαχρείωσιν, καθ' ὅσον καὶ οἱ ἀπὸ κοινοῦ
κατέχοντες καὶ χρησιμοποιοῦντες βλέπομεν ὅτι πολὺ περισ-
σότερον συγκρούονται πρὸς ἀλλήλους ἢ οἱ ἔχοντες χωρι-
στὰς τὰς περιουσίας· βλέπομεν ὅμως νὰ συγκρούωνται ὀλί-
γοι τῶν κοινοκτημονούντων, ἐπειδὴ συγκρίνομεν τούτους
πρὸς τοὺς πολὺ περισσοτέρους κατ' ἰδιοκτησίαν κατέχον-
τας. Ἐπὶ πλέον ὅμως εἶναι δίκαιον νὰ μὴ ἀπαριθμῶμεν
μόνον τὰ ὅσα θὰ ἐξαλειφθοῦν ὑπὸ τὸ καθεστὼς τῆς κοινο-
κτημοσύνης κακά, ἀλλὰ καὶ τὰ ὅσα θὰ ἐξαλειφθοῦν ἀγαθά·
γενικῶς δ' εἰπεῖν φαίνεται ὅτι ὑπὸ τοιοῦτο καθεστὼς ὁ
βίος εἶναι ἀδύνατος.

Αἰτίαν δὲ τῆς πλάνης τοῦ Σωκράτους[10] πρέπει νὰ νομί-
ζῃ τις τὸ ὅτι ἡ βάσις ἣν οὗτος ἔθεσε διὰ τὴν πολιτείαν[11]
δὲν εἶναι ὀρθή. Διότι πρέπει ὑπὸ μίαν ἔποψιν νὰ ἀποτελῇ

---

διαλεγομένων ἐν τῇ Πολιτείᾳ προσώπων. [11]) Τὸ ὅτι τουτέστι

καὶ τὴν οἰκίαν καὶ τὴν πόλιν, ἀλλ' οὐ πάντως. Ἔστι μὲν γὰρ ὡς οὐκ ἔσται προϊοῦσα πόλις, ἔστι δ' ὡς ἔσται μέν, ἐγγὺς δ' οὖσα τοῦ μὴ πόλις εἶναι[a] χείρων πόλις, ὥσπερ κἂν εἴ τις τὴν συμφωνίαν ποιήσειεν ὁμοφωνίαν ἢ τὸν ῥυθμὸν βάσιν μίαν. Ἀλλὰ δεῖ πλῆθος ὄν, ὥσπερ εἴρηται πρότερον, διὰ τὴν παιδείαν[b] κοινὴν καὶ μίαν ποιεῖν, καὶ τόν γε μέλλοντα παιδείαν εἰσάγειν, καὶ νομίζοντα διὰ ταύτης ἔσεσθαι τὴν πόλιν σπουδαίαν, ἄτοπον τοῖς τοιούτοις οἴεσθαι διορθοῦν,[c] ἀλλὰ μὴ τοῖς ἔθεσι καὶ τῇ φιλοσοφίᾳ καὶ τοῖς νόμοις, ὥσπερ τὰ περὶ τὰς κτήσεις ἐν Λακεδαίμονι καὶ
1264a Κρήτῃ τοῖς συσσιτίοις ὁ νομοθέτης ἐκοίνωσεν. Δεῖ δὲ μηδὲ

---

[a] εἶναι <ἔσται> Victorius
[b] τῆς παιδείας (cf. 38)? Richards
[c] (δεῖν) διορθοῦν ? Richards

---

πρέπει νὰ εἶναι αὕτη ἐν τῇ ἀπολύτῳ ἑνότητι μία. [12]) Εἰς τὰ ΠΡΟΒΛΗΜΑΤΑ, xix. 39 ὁ Ἀριστοτέλης ὁρίζει τὴν 'συμφωνίαν' ὡς 'κρᾶσιν' οὖσαν 'τῶν ἐναντίων (τοῦ ὀξέος τουτέστι καὶ βαρέος τόνου) λόγον ἐχόντων πρὸς ἄλληλα'. [13]) Κατὰ ποσότητα καὶ διαφορετικότητα. [14]) Βλ. ἀνωτέρω, II, i. § 3-8. [15]) Διὰ τῆς εἰσαγωγῆς τουτέστι τῶν κοινοκτημονικῶν συστημάτων. [16]) Ἀξίζει νὰ παρατεθῇ ὡς ἀνάπτυξις τῆς θεωρίας τοῦ Ἀριστοτέλους ἡ ἀντίστοιχος γνώμη τοῦ Ἱπποδάμου τοῦ Μιλησίου (=ΕΙΣΑΓ. II[11] § 7, ii), οὗ τὸ σύστημα ἐκθέτει κατωτέρω (II. iv) ὁ Ἀριστοτέλης, καὶ ἐν συμπληρώματι τῶν ὅσων ἐν τῇ εἰσαγωγῇ ἐξεθέσαμεν· —ἐκ τοῦ παρὰ Στοβαίῳ, ΜΓ, 93 Meineke, ἀποσπάσματος: *Περὶ δὲ συναρμογᾶς καὶ ἑνώσιος αὐτῶν* (=τῶν στοιχείων τῆς πολιτείας) *πειρασοῦμαι λέγεν. Φαμὶ δ' ἔγωγε τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν, λόγοις, ἐπιταδεύμασιν ἐθῶν, νόμοις, καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπον καὶ σπουδαιότερον γίνεσθαι. Τοὶ μὲν γὰρ λόγοι διδάσκοντι καὶ ἐπιθυμίας ἐμποιεῦντι προτρεπόμενοι πρὸς ἀρετάν· τοὶ δὲ νόμοι τὰ μὲν φόβοις κατέχοντες ἀπερύκονται, τὰ δὲ τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες ἐκκαλέονται· τὰ δὲ ἔθεα καὶ ἐπιταδεύματα πλάσσει καὶ κηροχυτεῖ τὰν ψυχάν, φυσίωσιν* (=σταθερὰν διάθεσιν) *ἐμποιεῦντα διὰ τᾶς συνεχέος ἐνεργείας. Δεῖ δὲ τὰ τρία*

ἑνότητά τινα καὶ ἡ πόλις καὶ ἡ οἰκία, ἀλλ' οὐχὶ ἀπολύτως· διότι θὰ καταντήσῃ ἡ πόλις νὰ μὴ εἶναι πόλις, ἢ ἐὰν εἶναι μὲν ἐπί τι διάστημα, ἐφ' ὅσον θὰ πλησιάζῃ πρὸς τὸ νὰ μὴ εἶναι πόλις, χειροτέρα πόλις θὰ καθίσταται, — ὅτι δηλαδὴ θὰ συνέβαινε ἐὰν μετέτρεπέ τις τὴν μουσικὴν συμφωνίαν εἰς ταυτοφωνίαν [12] ἢ τὸν ρυθμὸν εἰς ἕνα μόνον μετρικὸν πόδα. Ἐξ ἀντιθέτου ὅμως· ἡ πόλις οὖσα τι ὁριζόμενον ὡς πλῆθος [13], διὰ τῆς παιδείας πρέπει νὰ καθίσταται κοινὴ καὶ 'μία' [14], ὡς προελέχθη*· καὶ ὅστις ἐκ τῶν φιλοσόφων πρόκειται νὰ γίνῃ εἰσηγητὴς παιδείας καὶ ἔχει τὴν γνώμην ὅτι διὰ τῆς ὑπ' αὐτοῦ προτεινομένης ἡ πόλις θὰ ἀποβῇ σπουδαία, ἄτοπον εἶναι νὰ πιστεύῃ ὅτι διὰ τοιούτων μέσων [15] θὰ διορθώσῃ τὰ κακῶς κείμενα καὶ οὐχὶ διὰ τῶν ἠθῶν καὶ τῆς φιλοσοφίας καὶ τῶν νόμων [16] · παράδειγμα δὲ ἡ ἐν Λακεδαίμονι καὶ Κρήτῃ νομοθεσία [17], ἥτις καθιέρωσε διὰ τῶν συσσιτίων κοινοκτημοσύνην τινά. Δὲν πρέπει δέ τις

---

*ταῦτα συντετάχθαι ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ δίκαιον, καὶ ἐν ἑκάστῳ αὐτῶν εἰ μὲν δυνατὸν στοχάζεσθαι πάντων, εἰ δὲ μήγε, δυοῖν ἢ ἑνός· ὥστ' εἶμεν καὶ λόγῳ καλὸν καὶ δίκαιον καὶ συμφέροντα καὶ τὸ ἔθος καὶ τὸν νόμον· προτιμῆσθαι δὲ πρᾶτον τὸ καλόν, δεύτερον δὲ τὸ δίκαιον, τρίτον δὲ τὸ συμφέρον. Τὸ καθόλω δὲ πειρᾶσθαι διὰ τούτων ὡς ὅτι μάλιστα ποιὲν τὰν πόλιν ὅπως ὁμολογήσῃ καὶ σύμφωνος ᾖ τοῖς αὐτᾶς μέρεσιν, ἀλλὰ μὴ στασιάζουσα καὶ διαμαχομένα. Ἐσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶς παιδεύηται τῶν νέων καὶ ἐς τὸ μέτριον ἀγινῆται τοῖς ἁδέσι τε καὶ λυπαροῖς, καὶ αἴκα περὶ τὰς οὐσίας μέτρια καὶ ἀπὸ γεωπονίας ἔχωντι τὰν πρόσοδον· καὶ αἴκα τὰς ἀρχὰς ἄρχωντι τὰς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοί, τὰς δ' ἐμπειρίας τινὸς τοὶ ἔμπειροι, τὰς δὲ παροχᾶς τινὸς καὶ δαπάνας τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὰ τρόπον ἄρξασι τὰς ἀρχὰς κατ' ἀξίαν διανέμωντι τὰς τιμάς. Ἐπεὶ δὲ τᾶς ἀρετᾶς αἰτίαι τυγχάνοντι τρεῖς, φόβος ἐπιθυμία αἰδώς, δυνασεῖται δὲ τὸν μὲν φόβον ὁ νόμος ἐμπαρασκευάζειν, τὰν δὲ αἰδῶ τὰ ἔθεα· τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσεν· ὁ δὲ λόγος τὰν ἐπιθυμίαν· ἀγωγὸν γὰρ τᾶς αἰτίας ἀπόδοσις ἅμα καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλωστε δὴ καὶ γινόμενον μετὰ προτροπᾶς κτλ.* [17]) Περὶ τούτων βλ. κα-

---

*)=1261a[18].

τοῦτο αὐτὸ[a] ἀγνοεῖν, ὅτι χρὴ προσέχειν τῷ πολλῷ χρόνῳ καὶ τοῖς πολλοῖς ἔτεσιν,[b] ἐν οἷς οὐκ ἂν ἔλαθεν εἰ ταῦτα καλῶς εἶχεν· πάντα γὰρ σχεδὸν εὕρηται μέν, ἀλλὰ τὰ μὲν οὐ συνῆκται τοῖς δ' οὐ χρῶνται γινώσκοντες. Μάλιστα δ' ἂν 11
γένοιτο φανερὸν εἴ τις τοῖς ἔργοις ἴδοι τὴν τοιαύτην πολιτείαν κατασκευαζομένην· οὐ γὰρ δυνήσεται μὴ μερίζων αὐτὰ καὶ χωρίζων ποιῆσαι τὴν πόλιν, τὰ μὲν εἰς συσσίτια τὰ δὲ εἰς φρατρίας καὶ φυλάς. Ὥστε οὐδὲν ἄλλο συμβήσεται νενομοθετημένον πλὴν μὴ γεωργεῖν τοὺς φύλακας· ὅπερ καὶ νῦν Λακεδαιμόνιοι ποιεῖν ἐπιχειροῦσιν. Οὐ μὴν ἀλλ' οὐδὲ ὁ τρόπος τῆς ὅλης πολιτείας τίς ἔσται τοῖς κοινωνοῦσιν οὔτ' εἴρηκεν ὁ Σωκράτης οὔτε ῥᾴδιον εἰπεῖν. Καίτοι σχεδὸν τό γε πλῆθος[c] τῆς πόλεως τὸ τῶν ἄλλων πολιτῶν γίνεται πλῆθος, περὶ ὧν οὐδὲν διώρισται, πότερον καὶ τοῖς γεωργοῖς κοινὰς εἶναι δεῖ τὰς κτήσεις ἢ [καὶ][d] καθ' ἕκαστον ἰδίας, ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας ἰδίους ἢ κοινούς. Εἰ μὲν 12
γὰρ τὸν αὐτὸν τρόπον κοινὰ πάντα πάντων, τί διοίσουσιν οὗτοι ἐκείνων τῶν φυλάκων; ἢ τί πλεῖον αὐτοῖς[e] ὑπομέ-

---

a αὐτόν? Richards
b ἔθεσιν Ar., ἔθνεσιν Bernays
c πλήρωμα? Richards
d καὶ ἀθετεῖ. Susemihl
e Richards: τοῖς χ'/φα

---

τωτέρω κεφ. vi, vii. 18) Ὡς ἀνάξια λόγου. 19) Ὡς ἀνεφάρμοστα καὶ οὐτοπικά. 20) Ὁ Σωκράτης· πρβλ. αὐτόθι σημείωσιν 10 // Ἀλλὰ πρβλ. Σχόλιον αὐτόθι. 21) Δηλαδὴ δὲν θὰ δυνηθῇ τὴν κοινοκτημοσύνην νὰ ἐπιβάλλῃ ὁ τῆς πολιτείας ταύτης νομοθέτης ἐὰν δὲν προβῇ εἰς ἐπιμερισμοὺς τῶν ὑπὸ τῆς ἐργασίας τῶν γεωργῶν προερχομένων καρπῶν· ἀλλ' οὕτω τὸ θεσμοθετημένον δὲν εἶναι ἡ κοινοκτημοσύνη, ἀλλ' ἡ ἀναγκαστικὴ πρὸς ὄφελος ἄλλων ἐργασία μιᾶς τάξεως. 22) Ὑπαινίσσεται ἀνάλογον ἐν Σπάρτῃ κίνησιν κατὰ τὴν ἐποχήν του· λόγῳ τοῦ ὅτι ἐκεῖ ἡ ἔγγειος ἰδιοκτησία περιῆλθεν εἰς χεῖρας ὀλιγίστων ἀτόμων καὶ

καὶ τοῦτο νὰ ἀγνοῇ, ὅτι ἐὰν τὰ κοινοκτημονικὰ ταῦτα συστήματα ἦσαν ὀρθὰ δὲν θὰ ἔμενον ἄγνωστα κατὰ τὸ μακρὸν καὶ πολυετὲς παρελθόν, καὶ τοῦτο πρέπει ἰδιαιτέρας νὰ τύχῃ προσοχῆς· διότι κατὰ τὸ διάστημα τοῦτο πάντα τὰ δυνατὰ πολιτικὰ συστήματα ἔχουν ἐπινοηθῆ, ἀλλ' ἐκ τούτων ἄλλα μὲν δὲν συμπεριλαμβάνονται[18] μετὰ τῶν πολιτευμάτων, ἄλλα δέ, καίτοι γνωστά, μένουν ἀχρησιμοποίητα[19]. Ἐξόχως δὲ θὰ ἐπεβεβαιοῦτο ἡ ἄποψίς μας, ἐὰν 11
ἔβλεπέ τις ἐν τῇ ἐπὶ μέρους πράξει ἐφαρμοζόμενον τὸ πολίτευμα τοῦτο· διότι δὲν θὰ δυνηθῇ νὰ συγκροτήσῃ[20] τὴν πόλιν μὴ μερίζων τὰ εἰσοδήματα καὶ μὴ ἀφορίζων τὰ καθ' ἕκαστον, κατὰ τὰ συσσίτια, κατὰ τὰς φατρίας, κατὰ τὰς φυλάς[21]. Ὥστε οὐδὲν ἄλλο θὰ εἶναι τὸ ἐκ τῆς τοιαύτης νομοθεσίας ἀποτέλεσμα ἢ τὸ νὰ μὴ καλλιεργοῦν τὴν γῆν οἱ 'φύλακες'· πρᾶγμα ὅμως ὅπερ καὶ νῦν κατὰ τὸ σύστημα τῆς ἰδιοκτησίας ἐπιχειροῦν νὰ κάμουν[22]. Ἀλλ' ὅμως οὐδὲ περὶ τοῦ ὑπὸ ποίου πνεύματος θὰ διέπεται καθ' ὅλου τὸ πολίτευμα πρὸς τὰ μετέχοντα αὐτοῦ μέλη τῆς πόλεως εἶπέ τι ὁ Σωκράτης, οὐδὲ εὔκολον ἦτο νὰ εἴπῃ. Πράγματι δὲ τὸ πλῆθος τῆς πόλεως ἀποτελεῖται κατὰ τὸ πλεῖστον ἀπὸ τὸ πλῆθος τῶν ἄλλων πολιτῶν, περὶ τῶν ὁποίων ὅμως οὐδὲν καθωρίσθη, — ἐὰν τουτέστι καὶ διὰ τὴν τάξιν τῶν 'γεωργῶν' πρέπει νὰ καθιερωθῇ ἡ κοινοκτημοσύνη τῆς γῆς ἢ ἡ ἰδιοκτησία καὶ ἐὰν καὶ αἱ γυναῖκες καὶ τὰ τέκνα θὰ εἶναι ἐπίσης ἴδια ἢ κοινά. Διότι ἐὰν μὲν κατὰ τὸν αὐτὸν 12
τρόπον θὰ εἶναι καὶ μεταξὺ τούτων τὰ πάντα κοινά, κατὰ τί θὰ διαφέρουν οὗτοι τῶν 'φυλάκων'; ἤ, ἐὰν ὄχι, τί πλεονεκτήματα θὰ εἶχον ὅπως ὑποφέρουν τὴν ἐπ' αὐτῶν ἀρχὴν ἐκείνων[23]; ἢ τί εἶναι ἐκεῖνο τὸ ὁποῖον μαθόντες θὰ ὑπο-

---

συνεπῶς οἱ λοιποὶ ἐλεύθεροι ἀπορώτατοι καταστάντες δὲν ἠδύναντο νὰ ἀσκῶνται ὡς ἄλλωστε ἀποκλειστικῶς εἰς τὰ στρατιωτικὰ

*νουσι τὴν ἀρχὴν αὐτῶν; ἢ τί μαθόντες ὑπομενοῦσι τὴν ἀρ-
χήν, ἐὰν μή τι σοφίζωνται τοιοῦτον οἷον Κρῆτες; Ἐκεῖνοι
γὰρ τἆλλα ταὐτὰ τοῖς δούλοις ἐφέντες μόνον ἀπειρήκασι τὰ
γυμνάσια καὶ τὴν τῶν ὅπλων κτῆσιν. Εἰ δὲ καθάπερ ἐν ταῖς
ἄλλαις πόλεσι καὶ παρ' ἐκείνοις ἔσται τὰ τοιαῦτα, τίς ὁ τρό-
πος ἔσται τῆς κοινωνίας; Ἐν μιᾷ γὰρ πόλει δύο πόλεις
ἀναγκαῖον εἶναι, καὶ ταύτας ὑπεναντίας ἀλλήλαις. Ποιεῖ
γὰρ τοὺς μὲν φύλακας οἷον φρουρούς, τοὺς δὲ γεωργοὺς
καὶ τοὺς[a] τεχνίτας καὶ τοὺς ἄλλους πολίτας. Ἐγκλήματα δὲ* 13
*καὶ δίκαι καὶ ὅσα ἄλλα ταῖς πόλεσιν ὑπάρχειν φησὶ κακὰ
πάνθ' ὑπάρξει καὶ τούτοις. Καίτοι λέγει ὁ Σωκράτης ὡς οὐ
πολλῶν δεήσονται νομίμων διὰ τὴν παιδείαν οἷον ἀστυνο-
μικῶν καὶ ἀγορανομικῶν καὶ τῶν ἄλλων τῶν τοιούτων,
ἀποδιδοὺς μόνον τὴν παιδείαν τοῖς φύλαξιν. Ἔτι δὲ κυρί-
ους ποιεῖ τῶν κτημάτων τοὺς γεωργοὺς ἀποφορὰν φέρον-
τας· ἀλλὰ πολὺ μᾶλλον εἰκὸς εἶναι χαλεποὺς καὶ φρονημά-
των πλήρεις ἢ τὰς παρ' ἐνίοις εἱλωτείας τε καὶ πενεστείας
καὶ δουλείας. Ἀλλὰ γὰρ εἴτ' ἀναγκαῖα ταῦθ' ὁμοίως εἴτε* 14
*μή, νῦν γ' οὐδὲν διώρισται, καὶ περὶ τῶν ἐχομένων, τίς ἡ
τούτων τε πολιτεία καὶ παιδεία καὶ νόμοι τίνες. Ἔστι δ'
οὔθ' εὑρεῖν ῥᾴδιον, οὔτε τὸ διαφέρον μικρόν, τὸ ποιούς τινας
εἶναι[b] <δεῖ> τούτους πρὸς τὸ σῴζεσθαι τὴν τῶν φυλάκων*
**1264b** *κοινωνίαν. Ἀλλὰ μὴν εἴ γε τὰς μὲν γυναῖκας ποιήσει
κοινὰς τὰς δὲ κτήσεις ἰδίας, τίς οἰκονομήσει ὥσπερ τὰ ἐπὶ
τῶν ἀγρῶν οἱ ἄνδρες αὐτῶν; Κἂν εἰ κοιναὶ αἱ κτήσεις καὶ*

---

a [τοὺς] ? ἐκδ.

b *ποίους τινὰς εἶναι* <*δεῖ*> Scaliger

---

καὶ νὰ ὑφίστανται τὰς καθόλου τῆς στρατιωτικῆς ζωῆς δαπάνας, ἀνέλαβον οἱ ὡς ἄνω πλούσιοι δι' εἰσφορῶν νὰ συντηροῦν τὸν στρατὸν ('φύλακας'). [23]) Τῶν 'φυλάκων' ἐννοεῖται. [24]) Ὁ Σωκράτης· βλ. σημ. αὐτ. 20. [25]) = ΠΟΛΙΤΕΙΑ, 425 d. [26]) Βλ. ἀνωτ. σημ. 5. [27]) Μὲ τὴν τῶν φυλάκων.

μένουν τὴν τοιαύτην ἀρχήν [23], ἐκτὸς ἐὰν δὲν σοφισθοῦν οἱ ἄρχοντες παρόμοιόν τι πρὸς τοὺς Κρῆτας; Ἐκεῖνοι δηλαδὴ πάντα τὰ ἄλλα δικαιώματα ἐπιτρέψαντες εἰς τοὺς δούλους ἀπηγόρευσαν εἰς αὐτοὺς μόνον τὴν στρατιωτικὴν ἐκπαίδευσιν καὶ τὴν τῶν ὅπλων κτῆσιν. Ἐὰν δέ, ὡς ἔχουν καὶ εἰς τὰς ἄλλας πόλεις, κανονισθοῦν καὶ παρ' αὐτοῖς τὰ τοιαῦτα, κατὰ ποῖον τρόπον τότε θὰ ὑπάρχῃ παρ' αὐτοῖς ἡ θρυλουμένη διὰ τῆς κοινοκτημοσύνης ἑνότης; Κατ' ἀνάγκην ἐντὸς τῆς αὐτῆς πόλεως δύο πόλεις θὰ ὑπάρχουν καὶ αὗται ἀντίπαλοι πρὸς ἀλλήλας. Διότι καθιστᾶ [24] οὕτω τοὺς μὲν 'φύλακας' εἶδος τι φρουρῶν, ἀφ' ἑτέρου δὲ τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας καὶ τοὺς ἄλλους πολίτας. Καὶ τὰ 12
ἐγκλήματα καὶ αἱ δίκαι καὶ ὅσα ἄλλα κακὰ λέγει ὅτι ὑπάρχουν εἰς τὰς πόλεις πάντα θὰ ὑπάρχουν καὶ εἰς τὴν πόλιν τούτων. Καὶ λέγει [25] ἐπίσης ὅτι λόγῳ τῆς παιδείας δὲν θὰ ὑπάρξῃ δι' αὐτοὺς ἀνάγκη διατάξεων ρυθμιστικῶν τοῦ κατὰ τὴν πόλιν βίου καὶ τῆς ἀγορᾶς καὶ ἄλλων τοιούτων, ἐνῶ ἀφ' ἑτέρου τὴν ἐκπαίδευσιν μόνον διὰ τοὺς 'φύλακας' προορίζει. Ἐπὶ πλέον καθιστᾶ τοὺς 'γεωργοὺς' κυρίους τῶν κτημάτων καὶ ἐπιβάλλει εἰς αὐτοὺς τὴν ἐν κοινῷ εἰσφοράν· ἀλλ' οὕτω εἶναι φυσικὸν νὰ εἶναι οὗτοι πολὺ πλέον ἐπικίνδυνοι καὶ πολὺ περισσότερον νὰ ἐμφορῶνται ἐπαναστατικῶν κινημάτων ἢ παρ' ἐνίοις λαοῖς οἱ 'εἵλωτες' καὶ οἱ 'πενέσται' [26] καὶ οἱ δοῦλοι. Ἀλλά, εἴτε εἶναι ἀνάγκη ἡ 14
ἰδία [27] κοινοκτημοσύνη νὰ ἰσχύῃ καὶ παρ' αὐτοῖς εἴτε ὄχι, οὐδέν, ὡς ἐπίσης καὶ περὶ τῶν συναφῶν ζητημάτων ἔχει καθορισθῆ, ποία θὰ εἶναι τουτέστιν ἡ θέσις αὐτῶν ὡς πολιτῶν, τίς ἡ ἐκπαίδευσις αὐτῶν καὶ τίνες οἱ περὶ τούτων νόμοι. Διότι οὔτε εὔκολον, ἀλλ' οὔτε καὶ μικροῦ ἐνδιαφέροντος ζήτημα εἶναι νὰ ἐξευρεθῇ ὁποῖοι πρέπει νὰ εἶναι οὗτοι διὰ νὰ διατηροῦν τὴν τῶν 'φυλάκων' κοινοκτημοσύνην. Ἀλλ' ὅμως ἐὰν τὰς μὲν γυναῖκας καταστήσῃ μεταξὺ τούτων κοινάς, τὰ δὲ κτήματα ἰδιόκτητα, ποῖος θὰ ἐπιμελῆται τὰ τοῦ οἴκου αὐτῶν ὡς οἱ ἄνδρες τὰ τῶν ἀγρῶν, καὶ ἐὰν ἐπὶ

αἱ τῶν γεωργῶν γυναῖκες . . . [a] Ἄτοπον δὲ καὶ τὸ ἐκ τῶν 15 θηρίων ποιεῖσθαι τὴν παραβολήν, ὅτι δεῖ τὰ αὐτὰ ἐπιτηδεύειν τὰς γυναῖκας τοῖς ἀνδράσιν, οἷς οἰκονομίας οὐδὲν μέτεστιν. Ἐπισφαλὲς δὲ καὶ τοὺς ἄρχοντας ὡς καθίστησιν ὁ Σωκράτης· ἀεὶ γὰρ ποιεῖ τοὺς αὐτοὺς ἄρχοντας, τοῦτο δὲ στάσεως αἴτιον γίνεται καὶ παρὰ τοῖς μηδὲν ἀξίωμα κεκτημένοις, ἤ που δῆθεν [b] παρά γε θυμοειδέσι καὶ πολεμικοῖς ἀνδράσιν. Ὅτι δ' ἀναγκαῖον αὐτῷ ποιεῖν τοὺς αὐτοὺς ἄρχοντας φανερόν, οὐ γὰρ ὁτὲ μὲν ἄλλοις ὁτὲ δὲ ἄλλοις μέμικται ταῖς ψυχαῖς ὁ παρὰ τοῦ θεοῦ χρυσός, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς, φησὶ δὲ τοῖς μὲν εὐθὺ γινομένοις μῖξαι χρυσόν, τοῖς δ' ἄργυρον, χαλκὸν δὲ καὶ σίδηρον τοῖς τεχνίταις μέλλουσιν ἔσεσθαι καὶ γεωργοῖς. Ἔτι δὲ καὶ τὴν εὐδαιμονίαν 16 ἀφαιρούμενος τῶν φυλάκων, ὅλην φησὶ δεῖν εὐδαίμονα ποιεῖν τὴν πόλιν τὸν νομοθέτην. Ἀδύνατον δὲ εὐδαιμονεῖν ὅλην, μὴ τῶν πλείστων ἢ [c] μὴ πάντων μερῶν ἢ τινῶν ἐχόντων τὴν εὐδαιμονίαν. Οὐ γὰρ τῶν αὐτῶν τὸ εὐδαιμονεῖν ὧνπερ τὸ ἄρτιον· τοῦτο μὲν γὰρ ἐνδέχεται τῷ ὅλῳ ὑπάρχειν τῶν δὲ μερῶν μηδετέρῳ, τὸ δὲ εὐδαιμονεῖν ἀδύνατον. Ἀλλὰ μὴν εἰ οἱ φύλακες μὴ εὐδαίμονες, τίνες ἕτεροι; Οὐ γὰρ δὴ οἵ γε τεχνῖται καὶ τὸ πλῆθος τὸ τῶν βαναύσων.

Ἡ μὲν οὖν Πολιτεία περὶ ἧς ὁ Σωκράτης εἴρηκεν ταύτας τε τὰς ἀπορίας ἔχει καὶ τούτων οὐκ ἐλάτους ἑτέρας.

---

[a] χάσμα Thurot.
[b] *ἤ που δῆθεν* Goettling: *ἤπουθεν δή, εἴπουθεν δὴ* χ΄/φα.
[c] *εἰ* Victorius.

28) ΠΛΑΤ· 451 D. 29) Τῶν τεχνιτῶν τουτέστι καὶ τῶν γεωργῶν.
30) πρόκειται περὶ τῆς τάξεως τῶν φυλάκων. 31) Ὁ Σωκράτης. Νὰ καταστήσῃ ἄρχοντας τοὺς αὐτοὺς πάντοτε. 32) ΠΛΑΤ. 415 A *ἐστὲ μὲν γὰρ δὴ πάντες οἱ ἐν τῇ πόλει ἀδελφοί, ὡς φήσομεν πρὸς αὐτοὺς μυθολογοῦντες, ἀλλ' ὁ θεὸς πλάττων, ὅσοι μὲν ὑμῶν ἱκανοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει ξυνέμιξεν αὐτοῖς, διὸ τιμιώτατοί εἰσιν· ὅσοι δ' ἐπίκουροι, ἄργυρον· σίδηρον δὲ καὶ χαλκὸν τοῖς τε γεωργοῖς καὶ τοῖς ἄλλοις δημιουργοῖς. Ἅτε οὖν ξυγγενεῖς ὄντες πάντες τὸ μὲν πολὺ*

τῶν γυναικῶν τούτων <ἰδιοκτημοσύνη........>. Παράδοξος δὲ καὶ ἡ γνώμη ὅτι [28] πρέπει οἱ ἄνθρωποι παραδειγματιζόμενοι ἐκ τῶν ζώων νὰ θεσπίσουν ὅπως εἰς ἃ καὶ οἱ ἄνδρες ἔργα εἰς ταῦτα καὶ αἱ γυναῖκες νὰ καταγίνωνται· διότι τὰ ζῶα οὐδεμίαν περὶ οἰκιακῆς οἰκονομίας ἰδέαν ἔχουν. Ἐπισφαλὴς δὲ εἶναι καὶ ὁ τρόπος καθ' ὃν ὁ Σωκράτης καθιστᾶ τοὺς ἄρχοντας· διότι ἐπιβάλλει νὰ ἄρχουν οἱ αὐτοὶ πάντοτε ἄρχοντες, τοῦτο δὲ εἶναι αἰτία ἐπαναστάσεων, οὐ μόνον ἐκ μέρους τῶν οὐδὲν ἀξίωμα κατεχόντων [29], ἀλλὰ καὶ κυριώτατα ἐκ μέρους ἀνδρῶν θυμοειδῶν καὶ ρεπόντων εἰς τὰ πολεμικά [30]. Φανερὸν ὅμως ὅτι ἀναγκάζεται νὰ πράξῃ τοῦτο [31]· διότι ὁ παρὰ τοῦ θεοῦ χρυσὸς δὲν ἀναμίγνυται εἰς ἄλλων ἄλλοτε τὰς ψυχάς, ἀλλ' εἰς τῶν αὐτῶν πάντοτε τὰς ψυχὰς ὑπάρχει· ὡς διδάσκει [32] δηλαδή, εὐθὺς ἐξ ἀρχῆς ἅμα τῇ γεννήσει μίγνυται εἰς ἄλλων μὲν τὰς ψυχὰς χρυσός, εἰς ἄλλων δὲ ἄργυρος, χαλκὸς δὲ καὶ σίδηρος εἰς τὰς ψυχὰς τῶν μελλόντων νὰ ἀποβοῦν τεχνῖται καὶ γεωργοί. Ἐπὶ πλέον, ἐνῷ ἀφαιρεῖ πᾶσαν ἀπὸ τοὺς φύλακας 16 εὐδαιμονίαν [33], διακηρύττει [34] ὅτι ἅπασαν τὴν πόλιν δέον νὰ καταστήσῃ ὁ νομοθέτης εὐδαίμονα· ἀδύνατον ὅμως νὰ εἶναι ἅπασα ἡ πόλις εὐδαίμων, ἐὰν δὲν ἔχουν τὰ πλεῖστα ἢ πάντα τὰ αὐτῆς μέρη τὴν εὐδαιμονίαν. Διότι ἡ εὐδαιμονία δὲν εἶναι τῆς αὐτῆς μὲ τὸν ἄρτιον ἀριθμὸν φύσεως, ὅστις δύναται νὰ εἶναι ἄρτιος καὶ τὰ μέρη του νὰ μὴ εἶναι [35]· ἀδύνατον ὅμως τὸ ὅλον νὰ εἶναι εὔδαιμον καὶ τὰ μέρη του ὄχι εὐδαίμονα. Καὶ ὅμως ἐὰν οἱ 'φύλακες' δὲν εἶναι εὐδαίμονες, τότε τίνες ἄλλοι θὰ εἶναι; Ἀναμφιβόλως ὄχι οἱ τεχνῖται καὶ τὸ ἄλλο πλῆθος τῶν χειρωνακτῶν. Ἡ μὲν λοιπὸν Πολιτεία τὴν ὁποίαν ὁ Σωκράτης ὑπετύπωσε ταύτας τὰς ἀπορίας διεγείρει καὶ ἄλλας ὄχι μικροτέρας τούτων.

---

*ὁμοίους ἂν ὑμῖν αὐτοῖς γεννῷτο, ἔστι δ' ὅτε ἐκ χρυσοῦ γεννηθείη ἂν ἀργυροῦν καὶ ἐξ ἀργυροῦ χρυσοῦν ἔκγονον καὶ τἆλλα πάντα οὕτως ἐξ ἀλλήλων.* [33]) Λόγῳ τῆς σκληραγωγίας καὶ τῶν μόχθων οὓς ἐπιβάλλει εἰς τούτους. [34]) ΠΛΑΤ. 419 A sq. [35]) Οἷον τοῦ

**6.** *Σχεδὸν δὲ παραπλησίως καὶ περὶ τοὺς Νόμους ἔχει* III
*τοὺς ὕστερον γραφέντας, διὸ καὶ περὶ τῆς ἐνταῦθα πολιτείας
ἐπισκέψασθαι μικρὰ βέλτιον. Καὶ γὰρ ἐν τῇ πολιτείᾳ περὶ
ὀλίγων πάμπαν διώρικεν ὁ Σωκράτης, περί τε γυναικῶν
καὶ τέκνων κοινωνίας, πῶς ἔχειν δεῖ, καὶ περὶ κτήσεως, καὶ
τῆς πολιτείας τὴν τάξιν (διαιρεῖται γὰρ εἰς δύο μέρη τὸ
πλῆθος τῶν οἰκούντων, τὸ μὲν εἰς τοὺς γεωργοὺς τὸ δὲ εἰς
τὸ προπολεμοῦν μέρος, τρίτον δ' ἐκ τούτων τὸ βουλευόμε-
νον καὶ κύριον τῆς πόλεως), περὶ δὲ τῶν γεωργῶν καὶ τῶν
τεχνιτῶν πότερον οὐδεμιᾶς ἢ μετέχουσί τινος ἀρχῆς, καὶ
πότερον ὅπλα δεῖ κεκτῆσθαι καὶ τούτους καὶ συμπολεμεῖν ἢ
μή, περὶ τούτων οὐδὲν διώρικεν ὁ Σωκράτης, ἀλλὰ τὰς μὲν
γυναῖκας οἴεται δεῖν συμπολεμεῖν καὶ παιδείας μετέχειν τῆς
αὐτῆς τοῖς φύλαξιν, τὰ δ' ἄλλα τοῖς ἔξωθεν λόγοις πεπλή-
ρωκε τὸν λόγον καὶ* [a] *περὶ τῆς παιδείας, ποίαν τινὰ δεῖ γί-*
**1265a** *νεσθαι τῶν φυλάκων. Τῶν δὲ Νόμων τὸ μὲν πλεῖστον μέ-* 2
*ρος νόμοι τυγχάνουσιν ὄντες, ὀλίγα δὲ περὶ τῆς πολιτείας
εἴρηκεν, καὶ ταύτην βουλόμενος κοινοτέραν ποιεῖν ταῖς πό-*

---

[a] *καὶ—φυλάκων* ἀνωτέρω ὕστερον τῆς ἐν 31 *κτήσεως* Susemihl

---

ἀρτίου 12 τὰ μέρη 3+3+3+3 εἶναι πάντα περιττοὶ ἀριθμοί, ὡς καὶ τοῦ 24 τὰ 3+5+7+9 κ.ο.κ.

(iii) ΕΛΕΓΧΟΣ ΤΟΥ ΕΝ ΤΟΙΣ **ΝΟΜΟΙΣ** ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΥΜΑΤΟΣ (ΕΙΣΑΓ. Ι', ii § 9 ΙΙ).

ΚΕΦ. ΙΙΙ. § 1-2 Σχέσις τῶν ἐν τοῖς Νόμοις περὶ τοῦ πολιτεύματος πρὸς τὰ ἐν τῇ 'Πολιτείᾳ'· § 3 ὅτι ἡ ἀνάγκη μεγάλης ἐκτάσεως γῆς καθιστᾶ τὸ πολίτευμα τοῦτο κατ' ἀρχὴν ἀνεφάρμοστον· § 4 σχέσις τῆς πολιτείας πρὸς τὰς ἄλλας· § 5 ὅτι ἀσαφὲς τὸ τεκμήριον πρὸς καθορισμὸν τῆς περιουσίας ἑκάστου· § 6-7 ὅτι ἄτοπος ὁ συνδυασμὸς περιωρισμένου ἀριθμοῦ κλήρων καὶ ἐλευθέρας τεκνοποιίας· § 8 ὅτι ἀσαφὴς ὁ καθορισμὸς τῆς ἔναντι τῶν ἀρχομένων θέσεως τῶν ἀρχόντων· § 9-13 ὅτι ἀνακόλουθος ἡ περὶ τοῦ τύπου τοῦ πολιτεύματος τούτου θέσις τοῦ Πλάτωνος.

6 ΚΕΦ. III Παραπλήσια σχεδὸν εἶναι καὶ τὰ ὑποτυπωθέντα εἰς τοὺς βραδύτερον συγγραφέντας *Νόμους*, διὸ καὶ καλὸν εἶναι νὰ ἐξετάσωμεν συντόμως καὶ ὅσα περὶ πολιτεύματος[1] ἐκτίθενται ἐνταῦθα. Καὶ τοῦτο διότι ἐν τῇ *Πολιτείᾳ* περὶ ὀλιγίστων[2] ἐπραγματεύθη ὁ Σωκράτης[3], περὶ τῆς κοινοκτημοσύνης γυναικῶν καὶ τέκνων, ὁποία πρέπει περίπου νὰ εἶναι, καὶ περὶ τῆς κοινοκτημοσύνης τῶν ἀγαθῶν καὶ περὶ τῆς συγκροτήσεως τοῦ πολιτεύματος — (διαιρεῖ τουτέστι τὸ πλῆθος τῶν κατοίκων εἰς δύο μέρη, ὧν τὸ μὲν ἀποτελεῖται ἀπὸ τοὺς γεωργούς[4], τὸ δὲ ἀπὸ τοὺς ὑπερασπιστὰς τῆς πόλεως· τρίτον δὲ τῆς πόλεως μέρος τὸ ἐκ τῶν φυλάκων προερχόμενον βουλευτικὸν σῶμα, ὅπερ εἶναι καὶ τὸ κυρίαρχον τῆς πόλεως) —, περὶ δὲ τῶν γεωργῶν καὶ τῶν τεχνιτῶν, ἐὰν οὐδεμιᾶς ἢ ποιᾶς τινος θὰ μετέχουν ἀρχῆς καὶ ἂν πρέπει νὰ ἔχουν ὅπλα καὶ οὗτοι καὶ νὰ συμπολεμοῦν μετὰ τῶν ἄλλων ἢ ὄχι, περὶ τούτων οὐδὲν καθώρισεν ὁ Σωκράτης, ἀλλ' ἀρκεσθεὶς νὰ ἀποφανθῇ ὅτι αἱ γυναῖκες τῶν 'φυλάκων' πρέπει νὰ μετέχουν τῆς ἧς καὶ οἱ φύλακες παιδείας καὶ νὰ συμπολεμοῦν μετὰ τούτων, τὰ λοιπὰ μέρη τοῦ ἔργου παρεγέμισε μὲ λόγους ἔξω τοῦ θέματος [καὶ περὶ τῆς παιδείας, ὁποία πρέπει νὰ εἶναι διὰ τοὺς 'φύλακας']$^{5}$. Τῶν δὲ *Νόμων* τὸ μὲν πλεῖστον μέρος εἶναι 2
νόμοι, περὶ δὲ τοῦ πολιτεύματος ὀλίγα ἐν αὐτοῖς ὁ συγγραφεὺς ἔχει εἴπει· ἐνῷ δὲ σκοπὸν ἔχει νὰ καταστήσῃ τοῦτο ἐπιδεκτικώτερον ἐφαρμογῆς διὰ τὰς πόλεις ὀλίγον κατ'

---

[1]) Διὰ τούτων ὁρίζει περιοριστικῶς τὸ θέμα τοῦ κεφαλαίου· διὸ ἄτοπος ἡ συνήθης κατάκρισις τοῦ Ἀριστοτέλους, ὅτι οὗτος περιώρισεν ἐπ' ἐλαχίστων σημείων φιλαιτίως τὴν κριτικὴν ἑνὸς τῶν ὡριμωτέρων καὶ πολυτιμοτέρων ἔργων τοῦ διδασκάλου του.

[2]) Πράγματι ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ πραγματεύεται κυρίως, καὶ συμφώνως πρὸς τὰς ἀριστοκρατικὰς ἀντιλήψεις του, περὶ τῶν 'φυλάκων' καὶ τῶν ἀρχόντων, ἐλάχιστα δὲ περὶ τῆς τρίτης τάξεως, τῶν γεωργῶν καὶ τῶν τεχνιτῶν. [3]) Βλ. ἀνωτέρω σημ. II, ii[10]. [4]) Καὶ τοὺς λοιποὺς ἐννοεῖται χειρώνακτας.
[5]) Παρέμβλητον κατὰ πᾶσαν πιθανότητα χωρίον. Ὁ Susemihl

*λεσι κατὰ μικρὸν περιάγει πάλιν πρὸς τὴν ἑτέραν Πολιτείαν. Ἔξω γὰρ τῆς τῶν γυναικῶν κοινωνίας καὶ τῆς κτήσεως, τὰ ἄλλα ταὐτὰ ἀποδίδωσιν ἀμφοτέραις ταῖς πολιτείαις· καὶ γὰρ παιδείαν τὴν αὐτήν, καὶ τὸ τῶν ἔργων τῶν ἀναγκαίων ἀπεχομένους ζῆν, καὶ περὶ συσσιτίων ὡσαύτως, πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν, καὶ τὴν μὲν χιλίων τῶν ὅπλα κεκτημένων, ταύτην δὲ πεντακισχιλίων.*

3 *Τὸ μὲν οὖν περιττὸν ἔχουσι πάντες οἱ τοῦ Σωκράτους λόγοι καὶ τὸ κομψὸν καὶ τὸ καινοτόμον καὶ τὸ ζητητικόν, καλῶς δὲ πάντα ἴσως χαλεπόν· ἐπεὶ καὶ τὸ νῦν εἰρημένον πλῆθος δεῖ μὴ λανθάνειν ὅτι χώρας δεήσει τοῖς τοσούτοις Βαβυλωνίας ἢ τινος ἄλλης ἀπεράντου τὸ πλῆθος, ἐξ ἧς ἀργοὶ πεντακισχίλιοι θρέψονται καὶ περὶ τούτους γυναικῶν καὶ θεραπόντων ἕτερος ὄχλος πολλαπλάσιος. Δεῖ μὲν οὖν ὑποτίθεσθαι κατ' εὐχήν, μηδὲν μέντοι ἀδύνατον.* 4 *Λέγεται δ' ὡς δεῖ τὸν νομοθέτην πρὸς δύο βλέποντα τιθέναι τοὺς νόμους, πρός τε τὴν χώραν καὶ τοὺς ἀνθρώπους. Ἔτι δὲ καλῶς ἔχει προσθεῖναι καὶ πρὸς τοὺς γειτνιῶντας τόπους, εἰ*

---

τὸ τοποθετεῖ μετὰ τὸ ἐν στίχῳ 28 *κτήσεως*. [6]) ΝΟΜΟΙ, 780Ε-781. [7]) ΠΟΛΙΤ. 423Α *καὶ ἕως ἂν ἡ πόλις σοι οἰκῇ σωφρόνως ὡς ἄρτι ἐτάχθη, μεγίστη ἔσται, οὐ τὸ εὐδοκιμεῖν λέγω, ἀλλ' ὡς ἀληθῶς μεγίστη, καὶ ἐὰν μόνον ᾖ χιλίων τῶν προπολεμούντων.*

[8])=(5040). Βλ. ΝΟΜ., 737Ε (=ΕΙΣΑΓ. ΙΙ[11] § 9 ΙΙ). [9]) Εἰς τοὺς Νόμους δὲν ἐμφανίζεται ὁ Σωκράτης, ἀλλ' ὑπολανθάνει ὑπὸ τὸ πρόσωπον τοῦ ξένου Ἀθηναίου. [10]) Ἡ Βαβυλὼν κατέστη περίφημος διὰ τὴν μεγίστην ἔκτασιν αὐτῆς, ὥστε τὸ 'Βαβυλωνία χώρα' νὰ λέγεται παροιμιακῶς ἐπὶ μεγάλης ἐκτάσεως πόλεως. Καθ' Ἡρόδοτον (Ι. 178) ἐσχημάτιζε τετράγωνον, ἑκάστη πλευρὰ τοῦ ὁποίου εἶχε μῆκος 120 σταδίων· συνεπῶς ἡ ὅλη περίμετρος αὐτῆς ἦτο 89 περίπου χιλιόμετρα, ἔκτασις ἀσύλληπτος παρὰ τοῖς ἀρχαίοις ὡς ἔκτασις πόλεως. Παρατηρητέα ὅμως καὶ ποιά τις φιλαίτιος ὑπερβολὴ ἐκ μέρους τοῦ Ἀριστοτέλους, ἰδίως ἐν συγκρίσει πρὸς ὅσα αὐτὸς οὗτος λέγει ἐν ΙΙ, vi. 11-12 περὶ Λακεδαίμονος. [11]) Οὕτω κατὰ λογικὴν ἀκολουθίαν νομίζομεν ὅτι πρέπει νὰ ἀποδοθῇ τὸ '*τὸ πλῆθος*'· δυνατὸν ὅμως νὰ ἐννοῆται

ὀλίγον περιστρέφει τοῦτο περὶ τὴν ἄλλην ἐκείνην *Πολιτείαν*. Διότι ἐκτὸς τῆς κοινοκτημοσύνης τῶν γυναικῶν καὶ τῶν κτημάτων, πάσας τὰς λοιπὰς ρυθμιστικὰς διατάξεις διαγράφει δι᾽ ἀμφότερα τὰ πολιτεύματα· τὴν αὐτὴν τουτέστι παιδείαν ὁρίζει, καὶ τὸ νὰ διατρέφωνταί τινες ἄνευ ὑποχρεώσεως πρὸς ἄσκησιν βιοποριστικῆς ἐργασίας, τὰ αὐτὰ περὶ συσσιτίων, πλὴν ὅτι ἐνταῦθα πρέπει, λέγει, νὰ ὑπάρχουν καὶ τῶν γυναικῶν συσσίτια[6], καὶ ἐνῶ ἐν ἐκείνῃ χίλιοι[7] εἶναι οἱ περὶ τὰ πολεμικὰ ἀσχολούμενοι, ἐνταῦθα πεντακισχίλιοι[8].
3 Καὶ περισσολογίαν μὲν καὶ κομψότητα καὶ πρωτοτυπίαν καὶ ἐρευνητικότητα ἔχουν πάντες οἱ λόγοι τοῦ Σωκράτους[9], ἴσως δύσκολον ὅμως ἐκ τούτων νὰ εἶναι καὶ ὀρθοί· ἐν προκειμένῳ δὲ δὲν πρέπει νὰ διαφεύγῃ ὅτι τὸ ἀνωτέρω πλῆθος θὰ χρειασθῇ διὰ τοσούτους Βαβυλωνίαν χώραν[10] ἢ ἄλλην τινὰ ἀπέραντον τὴν ἔκτασιν[11], ὅπως ἐξ αὐτῆς διατρέφωνται πεντακισχίλιοι ἀργοὶ καὶ ὁ ἄλλος περὶ τούτους γυναικῶν καὶ θεραπόντων πολλαπλάσιος ὄχλος. Καὶ ἀναμφιβόλως, πρέπει μὲν εὐκταῖον πολίτευμα νὰ προδιαγράφῃ τις, ἀλλ᾽ ὄχι καὶ ἀνεφάρμοστον.
4 Ὑποστηρίζεται πρὸς τούτοις[12] ὅτι ὁ νομοθέτης συντάσσων τοὺς νόμους πρὸς δύο τινὰ πρέπει νὰ ἀποβλέπῃ, πρὸς τὴν φύσιν τῆς χώρας καὶ πρὸς τοὺς ἐν αὐτῇ ἀνθρώπους. Ἐπὶ πλέον ὅμως καλὸν εἶναι νὰ προστεθῇ[13] ὅτι καὶ πρὸς τὰς γειτονικὰς

---

ἐνταῦθα καὶ τὸ κατ᾽ ἀνάγκην πολυάριθμον πλῆθος τῶν ἀπαιτουμένων καλλιεργητῶν. [12]) ΝΟΜΟΙ, 704A squ. [13]) Τὸ χωρίον τοῦτο κατέστη περίφημον διὰ τὰς ἐπ᾽ αὐτοῦ συζητήσεις. Ἢ γνήσιον τοῦ Ἀριστοτέλους εἶναι, ἢ ἐφθαρμένον ἢ ὅλως παρέμβλητον. Ἐὰν δὲ εἶναι γνήσιον, ὁ ἐλέγχων ἐνταῦθα τὰ τοῦ διδασκάλου, ἐλέγχεται ἢ ἐπὶ κακῇ πίστει ἢ ἐπὶ μὴ ἀκριβείᾳ· διότι ὁ Πλάτων σαφέστατα προσθέτει τὰ κατὰ τὴν γνώμην τοῦ Ἀριστοτέλους προσθετέα· 737C *πρῶτον μὲν τῶν αὐτῶν ὄγκον τοῦ ἀριθμοῦ δεῖ τάξασθαι, πόσον εἶναι χρεών· μετὰ δὲ τοῦτο τὴν διανομὴν τῶν πολιτῶν, καθ᾽ ὁπόσα μέρη πλήθει καὶ ὁπηλίκα διαιρετέον αὐτούς, ἀνομολογητέον· ἐπὶ δὲ ταῦτα τήν τε γῆν καὶ τὰς οἰκήσεις ὅ τι μάλι-*

*δεῖ τὴν πόλιν ζῆν βίον πολιτικόν*[a] *(οὐ γὰρ μόνον ἀναγκαῖόν ἐστιν αὐτὴν τοιούτοις χρῆσθαι πρὸς τὸν πόλεμον ὅπλοις ἃ χρήσιμα κατὰ τὴν οἰκείαν χώραν ἐστὶν ἀλλὰ καὶ πρὸς τοὺς ἔξω τόπους)· εἰ δέ τις μὴ τοιοῦτον ἀποδέχεται βίον μήτε τὸν ἴδιον μήτε τὸν κοινὸν τῆς πόλεως, ὅμως οὐδὲν ἧττον δεῖ φοβεροὺς εἶναι τοῖς πολεμίοις μὴ μόνον ἐλθοῦσιν εἰς τὴν χώραν ἀλλὰ καὶ ἀποῦσιν.*[b] *Καὶ τὸ πλῆθος δὲ τῆς κτήσεως ὁρᾶν δεῖ, μήποτε βέλτιον ἑτέρως διορίσαι τῷ σαφῶς μᾶλλον· τοσαύτην γάρ εἶναί φησι δεῖν ὥστε ζῆν σωφρόνως, ὥσπερ ἂν εἴ τις εἶπεν ὥστε ζῆν σωφρόνως, ὥσπερ ἂν εἴ τις εἶπεν ὥστε ζῆν εὖ· τοῦτο δ' ἄρ'*[c] *ἐστι καθόλου μᾶλλον, ἐπειδὴ*[d] *ἔστι σωφρόνως μὲν ταλαιπώρως δὲ ζῆν. Ἀλλὰ βελτίων ὅρος τὸ σωφρόνως καὶ ἐλευθερίως (χωρὶς γὰρ ἑκάτερον τὸ μὲν τῷ τρυφᾶν ἀκολουθήσει, τὸ δὲ τῷ ἐπιπόνως), ἐπεὶ μόναι γ' εἰσὶν [ἕξεις] ἀρεταὶ*[e] *περὶ τὴν τῆς οὐσίας χρῆσιν αὗται, οἷον οὐσίᾳ πράως ἢ ἀνδρείως χρῆσθαι*

---

[a] *πολιτικὸν μὴ μονωτικόν* χ'/φα
[b] *ἀπ[ελθ]οῦσιν* Bender
[c] *δ' ἄρ' ἐκδ. γάρ* χ'/φα
[d] *ἐπειδὴ* Susemihl: *ἔτι δ'* χ'/φα
[e] *αἱρεταὶ* Vettori: *ἀρεταὶ* χ'/φα

---

*στα ἴσως ἐπινεμητέον. Ὄγκος δὴ πλήθους ἱκανῶς οὐκ ἄλλως ὀρθῶς γίγνοιτ' ἂν λεχθεὶς ἢ πρὸς τὴν γῆν καὶ τὰς τῶν πλησιοχώρων πόλεις, γῆς μέν, ὁπόση πόσους σώφρονας ὄντας ἱκανὴ τρέφειν, πλείονος δ' οὐδὲν προσδεῖ, πλήθους δέ, ὁπόσοι τοὺς προσχώρους ἀδικοῦντάς τε αὐτοὺς ἀμύνασθαι δυνατοὶ καὶ γείτοσιν ἑαυτῶν ἀδικουμένοις βοηθῆσαι μὴ παντάπασιν ἀπόρως δύναιντ' ἄν. Ταῦτα δ' ἰδόντες τὴν χώραν καὶ τοὺς γείτονας ὁριούμεθα ἔργῳ καὶ λόγοις.* —Ἀναμφισβήτητος ὅμως εἶναι ὁ ἐπικριτικὸς τόνος τοῦ Ἀριστοτελικοῦ χωρίου· ἀλλὰ λόγῳ τοῦ ὅτι παρουσιάζει, ὡς πᾶς δύναται νὰ ἴδῃ, ποιάν τινα ἀνακολουθίαν καὶ ταραχήν, ἐνῷ ἀφ' ἑτέρου δύσκολον εἶναι νὰ δεχθῶμεν ἀνακρίβειαν, πολὺ περισσότερον δὲ κακὴν πίστιν, τὸ καλύτερον εἶναι νὰ δεχθῶμεν ὅτι ὑπέστη διασκευήν τινα ἢ ἄλλην φθοράν· ἐκ τῆς παρεμβολῆς δὲ τῆς ἀνακολούθου ἤδη ἐν πα-

εἰς τὴν σύνταξιν πολιτεύματος μερικοὶ μὲν οὐδ' ἐπ' ἐλάχιστον ἀνεμίχθησαν ἐνεργῶς εἰς τὴν πολιτικὴν πρᾶξιν, ἀλλ' ὡς ἰδιῶται τὸν βίον διήγαγον· διὰ τὰς ἀξιολόγους δὲ γνώμας σχεδὸν πάντων τούτων ἐλέχθησαν ἤδη τὰ δέοντα. Μερικοὶ δὲ ἐγένοντο οἱ ἴδιοι νομοθέται, ἄλλοι μὲν εἰς τὰς πατρίδας των, ἄλλοι δὲ εἰς ξένας πόλεις, εἰς τὸν πολιτικὸν βίον τῶν ὁποίων ἐνεργῶς ἀνεμίχθησαν· καὶ ἐκ τούτων οἱ μὲν ἐγένοντο δημιουργοὶ μόνων νόμων, οἱ δὲ καὶ πολιτεύματος, ὡς ἐπὶ παραδείγματι καὶ ὁ Λυκοῦργος καὶ ὁ Σόλων[1]· διότι οὗτοι καὶ νόμους συνέταξαν καὶ πολιτικῆς τάξεως ἱδρυταὶ ἐγένοντο. Καὶ περὶ μὲν τῆς τῶν Λακεδαιμονίων πολιτικῆς τάξεως ((τῆς ἀναφερομένης εἰς τὸν 2
Λυκοῦργον)), ὡμιλήσαμεν ἤδη. Περὶ τοῦ Σόλωνος δὲ ἐπικρατεῖ ἡ γνώμη ὅτι σπουδαῖος ἀνεδείχθη νομοθέτης, διότι

---

τῶν νομοθετῶν Ζαλεύκου καὶ Χαρώνδου· § § 6-8 περὶ τοῦ νομοθέτου Φιλολάου· § 8b περὶ τῶν πρωτοτύπων θεσμῶν Φαλέου καὶ Πλάτωνος· § 9 περὶ τῶν Δράκοντος, Πιττακοῦ καὶ Ἀνδροδάμαντος ὡς νομοθετῶν.

[1]) Εἶναι ἀρκούντως γνωστὰ τὰ περὶ τὸν Σόλωνα, ὥστε παρέλκει ἐνταῦθα πᾶσα σημείωσις. Σημειοῦμεν μόνον τινὰ εἰς τὰ ὑπὸ τοῦ Ἀριστοτέλους κατωτέρω καθ' ἕκαστον τονιζόμενα πρὸς δια-

*γὰρ καταλῦσαι λίαν ἄκρατον οὖσαν καὶ δουλεύοντα τὸν δῆμον παῦσαι καὶ δημοκρατίαν καταστῆσαι τὴν πάτριον μίξαντα καλῶς τὴν πολιτείαν· εἶναι γὰρ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν ὀλιγαρχικόν, τὸ δὲ τὰς ἀρχὰς αἱρετὰς ἀριστοκρατικόν, τὰ δὲ δικαστήρια δημοτικόν. Ἔοικε δὲ Σόλων*
1274a *ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι τὰ δικαστήρια ποιήσας ἐκ πάντων. Διὸ καὶ μέμφονταί τινες* 3
*αὐτῷ· λῦσαι γὰρ θάτερα,*[a] *κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν. Ἐπεὶ γὰρ τοῦτ' ἴσχυσεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν κατέστησαν,*[b] *καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βου-*

---

[a] *θάτερα* Κοραῆς *θατέραν, θάτεραν* χ'/φα
[b] *μετέστησαν* Teggeus

---

σάφησιν τοῦ πνεύματος τῶν λόγων τοῦ συγγραφέως: 2) Πρβλ. αὐτοὺς τοὺς λόγους τοῦ Σόλωνος, τοὺς διασωζομένους εἰς τὴν Ἀθηναίων Πολιτείαν τοῦ Ἀριστοτέλους, XII: *Δήμῳ μὲν γὰρ ἔδωκα τόσον γέρας, ὅσον ἐπαρκεῖ | τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἀπορεξάμενος· | οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί, | καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν· | ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισιν | νικᾶν δ' οὐκ εἴασα οὐδετέρους ἀδίκως.* Θεμελιώδης ἀρχὴ τοῦ Σολωνείου πολιτεύματος εἶναι ὅτι ἕκαστος τῶν πολιτῶν ἔχει ἔναντι τοῦ συνόλου δικαιώματα ἀνάλογα πρὸς τὰς ὑπ' αὐτοῦ εἰς τὸ σύνολον παρεχομένας ὑπηρεσίας, ὅτι δὲ τοῦτο δύναται νὰ συνθέσῃ εἰς ἐναρμόνιον σύνολον πολιτικῆς ζωῆς ὁ ἐν τῇ πολιτικῇ τάξει ἰσόρροπος συγκερασμὸς τῶν ἀναλόγων στοιχείων τῆς πόλεως. Διὸ καὶ τὸ μὲν σύστημα τῆς ἐκλογῆς τῶν ἀρχόντων καθιέρωσεν ὡς θεσμὸν ὀλιγαρχικόν, διότι μόνον ἐκ τῶν τριῶν ἀνωτέρω κατὰ τίμημα τάξεων ἐξελέγοντο οἱ ἄρχοντες, τὸν τῶν ἀρχόντων δὲ ἔλεγχον ἔδωκεν ἐξ ὁλοκλήρου εἰς τὸν δῆμον, ἄκρως δημοκρατικὸν θεσμὸν οὕτω καταστήσας. 3) Διότι ἀφ' ἑνὸς οἱ Ἀρεοπαγῖται ἦσαν ἰσόβιοι, ἀφ' ἑτέρου δὲ ἀνελάμβανον τὸ ἀξίωμα τοῦτο μετὰ τὴν λῆξιν τῆς θητείας των οἱ ἐννέα ἄρχοντες, οἵτινες προήρχοντο ἐκ τοῦ ἀριστοκρατικοῦ καὶ πλουτοκρατι-

καὶ τὴν ὀλιγαρχίαν, ἥτις ἦτο λίαν ἄκρατος, ἰσχυρίζονται ὅτι κατέλυσε καὶ τὸν δῆμον ὅτι ἀπήλλαξε τῆς ὑπὸ τοὺς πλουσίους δουλείας καὶ ὅτι τὸ πάτριον παρ' Ἀθηναίοις λαοκρατικὸν πολίτευμα ἀποκατέστησεν ἐπιτυχῶς συγκεράσας τὴν πολιτείαν[2]· διότι ἡ μὲν τοῦ Ἀρείου πάγου βουλὴ εἶναι τὸ ὀλιγαρχικὸν στοιχεῖον[3], τὸ αἱρετὸν τῶν ἀρχῶν τὸ ἀριστοκρατικὸν[4] καὶ ὁ θεσμὸς τῶν δικαστηρίων τὸ δημοκρατικὸν[5] στοιχεῖον. Φαίνεται δὲ ὅτι ὁ Σόλων ἐκεῖνα μέν, τὴν βουλὴν τουτέστι τοῦ Ἀρείου Πάγου καὶ τὸν τρόπον τῆς καταστάσεως τῶν ἀρχῶν, ὑπάρχοντα καὶ πρότερον, διετήρησεν, εἰσήγαγε δὲ διὰ τοῦ θεσμοῦ τῶν δικαστηρίων τὸν λαὸν ὡς στοιχεῖον ἐνεργὸν τῆς πολιτικῆς τάξεως, ὁρίσας ὅπως ταῦτα συγκροτοῦνται ἐκ μελῶν ἐκλεγομένων ὑπὸ πάντων τῶν πολιτῶν. Ἀλλ' ἀκριβῶς ἐπὶ τοῦ σημείου τού- 2
του καταχρίνουν τινὲς αὐτόν· διότι, ἐπεκτείνας τὴν δικαιοδοσίαν τῶν δικαστηρίων, τῶν ὁποίων τὰ μέλη ἐκλέγονται διὰ κληρώσεως, καὶ ἐπὶ τῶν δύο ἄλλων ἀρχῶν[6], παρέλυσεν ἀμφοτέρων τὴν δύναμιν. Διότι ὡς ἅπαξ ἴσχυσε τοῦτο, οἱ διάφοροι, ὡς εἰς τύραννον παραχωροῦντες εἰς τὸν λαὸν τὴν πολιτικὴν δύναμιν, μετέτρεψαν τὸ πολίτευμα εἰς τὴν νῦν δημοκρατίαν· οὕτω τὰ μὲν δικαιώματα τῆς ἐν Ἀρείῳ πάγῳ

---

κοῦ στοιχείου. [4]) Πρβλ. ΕΙΣΑΓ. ΙΙΙ [4]. [5]) Ἐξαιρέσει τῶν φονικῶν, πᾶσαι αἱ δίκαι εἰσήγοντο εἰς τὸ δικαστήριον τῆς Ἡλιαίας, τὸ ὁποῖον ἀπετελεῖτο ἐξ 6.000 δικαστῶν, ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τῶν ἀπορωτέρων τάξεων ἐκλεγομένων. [6]) Εἷς ἐκ τῶν κυρίων θεσμῶν τοῦ Σολωνείου πολιτεύματος ἦτο ἡ εἰς τὸ δικαστήριον ἔφεσις παντὸς ὑπὸ τῶν ἀρχόντων ἀδικουμένου (Ἀθην. Πολ. ΙΧ). Πρὸ τοῦ Σόλωνος ἡ κατὰ τοῦ ἀδικοῦντος ἄρχοντος καταγγελία ἐγίνετο εἰς τὴν βουλὴν τοῦ Ἀρείου Πάγου, ἀλλ' αὐτὴ ἦτο ὀλιγαρχικὴ καὶ συνεπῶς μεροληπτικὴ διὰ τοὺς ἄρχοντας· διὰ τοῦ νόμου ὅμως τοῦ Σόλωνος αἱ τοιαῦται δίκαι εἰσήγοντο εἰς τὸ δικαστήριον τῆς Ἡλιαίας, οὕτω δέ, ὡς αὐτὸς ὁ Ἀριστοτέλης ἀλλαχοῦ λέγει, κύριος καταστὰς ὁ δῆμος τῆς δικαστικῆς ψήφου, κύριος ἐγένετο αὐτῆς τῆς πολιτείας. Ὡραία δὲ εἶναι καὶ ἡ σχετικὴ παρατήρησις τοῦ Πλουτάρχου ἐνταῦθα, *Σόλ.* κ. 18 *τὸ δικάζειν κατ'*

*λὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς, τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς, καὶ τοῦτον δὴ τὸν τρόπον ἕκαστος τῶν δημαγωγῶν προήγαγεν αὔξων εἰς τὴν νῦν δημοκρατίαν. Φαίνεται δ' οὐ κατὰ τὴν Σόλωνος γενέσθαι τοῦτο προαίρεσιν, ἀλλὰ μᾶλλον ἀπὸ συμπτώματος (τῆς ναυ-* 4
*αρχίας γὰρ ἐν τοῖς Μηδικοῖς ὁ δῆμος αἴτιος γενόμενος ἐφρονηματίσθη καὶ δημαγωγοὺς ἔλαβε φαύλους ἀντιπολιτευομένων*[a] *τῶν ἐπιεικῶν)· ἐπεὶ Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν (μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦλος ἂν εἴη καὶ πολέμιος), τὰς δ' ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον θητικόν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν. Νομοθέται δ' ἐγένοντο Ζάλευκός τε Λοκροῖς τοῖς Ἐπιζεφυρίοις, καὶ* 5

---

[a] *ἀντιπολιτευομένων* ἐκδ., *ἀντὶ πυλιτευομένων* χ'/φα

---

*ἀρχὰς μὲν οὐδέν, ὕστερον δὲ παραμμέγεθες ἐφάνη.* [1]) Πάντα τὰ σχετικὰ ἐκ ἐκτάσει ἀναφέρονται ὑπ' αὐτοῦ τοῦ Ἀριστοτέλους ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, κ. XXV. Ἐπὶ δεκαεπτὰ ἔτη μετὰ τὰ Μηδικὰ ἐκράτει ἐν Ἀθήναις ἡ βουλὴ τοῦ Ἀρείου Πάγου, καίτοι ἔβαινε βαθμηδὸν ἐξασθενουμένη, μέχρις οὗ ἐπετέθη κατ' αὐτῆς καὶ κατὰ καιροὺς ὁ Ἐφιάλτης, ὅστις κατηγορήσας πολλοὺς ἐπὶ καταχρήσει τῆς ἀρχῆς κατώρθωσε νὰ τοὺς παραδώσῃ εἰς τὸν δήμιον. Μετὰ τὸ πρῶτον τοῦτο κτύπημα, κατώρθωσε νὰ ἀφαιρέσῃ ἀπὸ τοὺς Ἀρεοπαγίτας καὶ νὰ παραδώσῃ εἰς τὴν βουλὴν τῶν πεντακοσίων καὶ εἰς τὰ δικαστήρια καὶ εἰς τὴν ἐκκλησίαν τοῦ δήμου τὰ σχετιζόμενα μὲ τὴν φύλαξιν τοῦ πολιτεύματος, προνόμια ἐκείνων. Εἶτα τῇ συνεργείᾳ τοῦ Θεμιστοκλέους, ὅστις ἦτο μὲν καὶ αὐτὸς Ἀρεοπαγίτης, ἀλλὰ μέλλων νὰ δικασθῇ ὑπὸ τοῦ Ἀρείου Πάγου ἐπὶ μηδισμῷ ἠπείγετο νὰ καταλύσῃ τοῦτον, κατηγορήσας καὶ πάλιν τὸν Ἄρειον Πάγον ἐνώπιον τῆς βουλῆς τῶν Πενταχοσίων καὶ τῆς ἐκκλησίας τοῦ δήμου, περιέκοψε καὶ τὴν ἀπομένουσαν αὐτῷ δύναμιν. Βραδύτερον ὁ Περικλῆς ἀφήρεσε καὶ τὰ δευτερευούσης σημασίας προνόμια τοῦ πανισχύρου ἄλλοτε

βουλῆς ἐκολόβωσεν ὁ Ἐφιάλτης [7] καὶ ὁ Περικλῆς, τὰ δικαστήρια δὲ μισθοφόρα κατέστησεν ὁ Περικλῆς [8] καὶ κατὰ τὸν τρόπον τοῦτον ἕκαστος τῶν δημαγωγῶν συνετέλει κατὰ τὸ μᾶλλον εἰς τὴν τροπὴν τοῦ πολιτεύματος εἰς τὴν νῦν δημοκρατίαν. Φαίνεται ὅμως ὅτι τοῦτο δὲν ἐγένετο ἐξ ἀφορμῆς τοιαύτης τοῦ Σόλωνος προαιρέσεως, ἀλλὰ μᾶλλον
ἐκ συμπτωματικῶν γεγονότων—(ὁ λαὸς δηλαδὴ γενόμενος 4
αἴτιος τῆς κατὰ τὰ Μηδικὰ μεγάλης ναυτικῆς νίκης ἐνεπλήσθη ἀγερωχίας καὶ φαύλους ἐνεκολπώθη δημαγωγούς, ἀντιπολιτευομένων τῶν ἐγκρίτων)—· διότι εἶναι φανερὸν ὅτι ὁ Σόλων παρεχώρησεν εἰς τὸν λαὸν μόνον ὅσα ἡ ἄκρα ἀνάγκη ἐπέβαλλε δικαιώματα, τὸ νὰ ἐκλέγῃ τουτέστι τοὺς ἄρχοντας καὶ νὰ ζητῇ παρ' αὐτῶν εὐθύνας (διότι ἂν καὶ τούτων τῶν δικαιωμάτων στερῆται ὁ λαός, φυσικὸν καὶ δοῦλος τῶν ἀρχόντων καὶ τῆς πολιτείας πολέμιος νὰ εἶναι)· ἀλλ' αὐτὰς ταύτας ἀφ' ἑτέρου τὰς ἀρχὰς ἐκ τῶν ἐγκρίτων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ τῶν ζευγιτῶν καὶ τρίτον ἐκ τῆς μεταξὺ τούτων [9] κατὰ τίμημα τάξεως τῆς καλουμένης τῶν ἱππέων· οἱ τῆς τετάρτης δὲ κατὰ τίμημα τάξεως τῆς καλουμένης θη-
τικῆς, οὐδεμιᾶς ἠξιοῦντο πολιτικῆς ἀρχῆς. Καθαρῶς δὲ νο- 5
μοθέται ἀνεδείχθησαν ὁ Ζάλευκος [10] εἰς τὴν πόλιν τῶν Ἐ-

---

θεσμοῦ τούτου. [8]) = Βλ. αὐτ. κεφ. IV [17]. [9]) Πάντες οἱ ἀρχαῖοι συγγραφεῖς καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ (κ. VII) μαρτυροῦν ὅτι ἡ τάξις τῶν Ἱππέων ἤρχετο δευτέρα κατὰ σειράν, μετὰ τοὺς πεντακοσιομεδίμνους, ἀσφαλῶς δὲ τὸ ἐνταῦθα «τρίτου τέλους» δὲν ἔχει τὴν ἔννοιαν τοῦ «τρίτου» κατὰ σειράν, ἀλλὰ τοῦ μέσου. [10]) Τὰ περὶ ἀμφοτέρων τούτων τῶν νομοθετῶν ἀναφερόμενα ἔχουν μᾶλλον μυθικὸν ἢ ἱστορικὸν χαρακτῆρα. Διὰ τὸν Ζάλευκον κρατεῖ ἡ παράδοσις ὅτι ἦτο Λοκρός, ἐκ τῆς τάξεως τῶν εὐγενῶν, ὅτι ἔζησε κατὰ τὰ μέσα τοῦ VII αἰῶνος καὶ ἐγένετο ὁ νομοθέτης τῶν Ἐπιζεφυρίων Λοκρῶν. Τὸ παρὰ τοῦ Στοβαίου διασωζόμενον *προοίμιον* τῶν νόμων του (*Ἀνθολ.* ΜΔ, 20,21) εἶναι προφανῶς νόθον κατασκεύασμα, ὅσα δὲ ὁ Διόδωρος (XII. 20) σχετικῶς ἀναφέρει εἶναι πιθανολογήματα οὐχὶ

*Χαρώνδας ὁ Καταναῖος τοῖς αὐτοῦ πολίταις καὶ ταῖς ἄλ-
λαις ταῖς Χαλκιδικαῖς πόλεσι ταῖς περὶ Ἰταλίαν καὶ Σικε-
λίαν. Πειρῶνται δέ τινες καὶ συνάγειν, ὡς Ὀνομακρίτου
μὲν γενομένου πρώτου δεινοῦ περὶ νομοθεσίαν, γυμνασθῆ-
ναι δ' αὐτὸν ἐν Κρήτῃ Λοκρὸν ὄντα καὶ ἐπιδημοῦντα κατὰ
τέχνην μαντικήν, τούτου δὲ γενέσθαι Θάλητα ἑταῖρον, Θά-
λητος δ' ἀκροατὴν Λυκοῦργον καὶ Ζάλευκον, Ζαλεύκου δὲ
Χαρώνδαν. Ἀλλὰ ταῦτα μὲν λέγουσιν ἀσκεπτότερον τῶν χρό-
νων ἔχοντες.*[a] *Ἐγένετο δὲ καὶ Φιλόλαος ὁ Κορίνθιος νο-* 6
*μοθέτης Θηβαίοις. Ἦν δ' ὁ Φιλόλαος τὸ μὲν γένος τῶν
Βακχιαδῶν, ἐραστὴς δὲ γενόμενος Διοκλέους τοῦ νικήσαντος
Ὀλυμπίασιν, ὡς ἐκεῖνος τὴν πόλιν ἔλιπε διαμισήσας τὸν
ἔρωτα τὸν τῆς μητρὸς Ἀλκυόνης, ἀπῆλθεν εἰς Θήβας, κἀκεῖ
τὸν βίον ἐτελεύτησαν ἀμφότεροι. Καὶ νῦν ἔτι δεικνύουσι τοὺς
τάφους αὐτῶν, ἀλλήλοις μὲν εὐσυνόπτους ὄντας πρὸς δὲ τὴν
τῶν Κορινθίων χώραν τὸν μὲν σύνοπτον τὸν δ' οὐ σύνοπτον*[b]*·
μυθολογοῦσι γὰρ αὐτοὺς οὕτω τάξασθαι τὴν ταφήν, τὸν μὲν* 7
*Διοκλέα διὰ τὴν ἀπέχθειαν τοῦ πάθους ὅπως μὴ ἄποπτος ἔσται
ἡ Κορινθία ἀπὸ τοῦ χώματος, τὸν δὲ Φιλόλαον ὅπως ἄπο-*
1274b *πτος. Ὤκησαν μὲν οὖν διὰ τὴν τοιαύτην αἰτίαν παρὰ τοῖς
Θηβαίοις, νομοθέτης δ' αὐτοῖς ἐγένετο Φιλόλαος περί τ' ἄλ-
λων τινῶν καὶ περὶ τῆς παιδοποιίας, οὓς καλοῦσιν ἐκεῖνοι*

---

[a] *τῶν χρόνων ἔχοντες* Susemihl : *τῷ χρόνῳ λέγοντες* χ'/φα
[b] *τὸν . . σύνοπτον* δὶς Richards : *τοῦ . . συνόπτου* δὶς χ/'φα

---

δι' ἀφυοῦς πνεύματος ἠρτυμένα. [11]) Οὗτος φέρεται καταγόμενος ἐκ τῆς σικελικῆς πόλεως Κατάνης, ἐγένετο δὲ κατὰ τὴν παράδοσιν νομοθέτης τῆς πατρίδος του καὶ ἄλλων πόλεων. Τὸ ὑπὸ τοῦ Στοβαίου (αὐτ. ΜΔ' 40) σωζόμενον « προοίμιον » τῶν νόμων του δέον ἐπίσης νὰ θεωρῆται νόθον. Περὶ τῶν ἀρχαίων τούτων νομοθετῶν δέον νὰ πιστευθῇ ὅτι πρόκειται περὶ μυθικῶν μᾶλλον προσώπων εἰς τὰ ὁποῖα ἀπεδόθησαν οἱ κρατοῦντες εἰς τὰς πόλεις θεσμοὶ ἐκ παραδόσεως, ὡς ἀπεδόθη ἡ ἐκ παραδόσεως κρατοῦσα κοινωνικὴ καὶ πολιτικὴ τάξις τῆς Σπάρτης εἰς τὸν

πιζεφυρίων Λοκρῶν, καὶ ὁ Χαρώνδας ὁ Καταναῖος μεταξὺ τῶν συμπολιτῶν του καὶ εἰς τὰς ἄλλας Χαλκιδικὰς πόλεις τὰς ἀνὰ τὴν Ἰταλίαν καὶ τὴν Σικελίαν. Μερικοὶ δὲ προσπαθοῦν καὶ νὰ συνδέσουν τούτους λέγοντες ὅτι πρῶτος σπουδαῖος νομοθέτης ἀνεδείχθη ὁ Ὀνομάκριτος [12], ἠσκήθη δὲ οὗτος, Λοκρὸς ὤν, ἐν Κρήτῃ, ἐπιδημῶν ἐκεῖ πρὸς σπουδὴν τῆς μαντικῆς τέχνης, τούτου δὲ φίλος ὅτι ἐγένετο ὁ Θαλῆς [13], μαθητὴς δὲ τοῦ Θάλητος ὁ Λυκοῦργος καὶ ὁ Ζάλευκος, τοῦ Ζαλεύκου δὲ ὁ Χαρώνδας. Ἀλλὰ ταῦτα θρυλοῦν οἱ ἐπιπολαίως ἔχοντες πρὸς τὴν ἔρευναν τῶν χρονολογιῶν. Ἐγένετο δὲ καὶ ὁ Φιλόλαος ὁ Κορίνθιος νομοθέτης 6
τῶν Θηβαίων. Κατήγετο δὲ ὁ Φιλόλαος ἐκ τοῦ γένους τῶν Βακχιαδῶν, ἐραστὴς δὲ γενόμενος τοῦ Ὀλυμπιονίκου [14] Διοκλέους, ὅταν ἐκεῖνος ἐγκατέλειψε τὴν Κόρινθον ἐξ ἀπεχθείας πρὸς τὸν πρὸς αὐτὸν ἔρωτα τῆς μητρός του Ἀλκυόνης, συναπῆλθε καὶ αὐτὸς εἰς τὰς Θήβας, καὶ ἐκεῖ ἀμφότεροι ἐτελεύτησαν. Καὶ σήμερον ἀκόμη δεικνύουν τοὺς τάφους των ἀντικρὺ ἀλλήλων κειμένους, ἀλλὰ τὸν μὲν τοῦ Φιλολάου ἐστραμμένον πρὸς τὴν χώραν τῶν Κορινθίων, τὸν δὲ τοῦ Διοκλέους ἀπεστραμμένον ἀπ᾿ αὐτῆς· διότι, ὡς μυθο- 7
λογοῦσιν, οὕτως ὥρισαν αὐτοὶ νὰ ταφῶσι, ὁ μὲν Διοκλῆς διὰ τὴν πρὸς τὸ πάθος ἐκεῖνο βδελυγμίαν, ὅπως μὴ εἶναι ἄποπτος ἀπὸ τοῦ τύμβου του ἡ Κορινθία, ὁ δὲ Φιλόλαος οὕτω, ὅπως ἡ γῆ ἐκείνη ἀπεναντίας ἄποπτος εἶναι. Ὁπωσδήποτε διὰ τὴν αἰτίαν ταύτην κατῴκισαν εἰς τὰς Θήβας· ἐγένετο δὲ ὁ Φιλόλαος παρὰ τοῖς Θηβαίοις νομοθέτης τάξας νόμους καὶ περὶ ἄλλων τινῶν καὶ περὶ τῆς τεκνοποιίας [15], τοὺς ὁποί-

---

Λυκοῦργον, περὶ τὸν ὁποῖον παντοῖα μυθολογήματα διεπλέχθησαν. [12]) Ἄλλον Ὀνομάκριτον πλὴν τοῦ περιφήμου χρησμολόγου τῆς αὐλῆς τοῦ Πεισιστράτου δὲν γνωρίζομεν. [13]) Πρόκειται ἀναμφιβόλως περὶ τοῦ Θαλήτα, τοῦ περιφήμου μουσικοῦ καὶ ἑνὸς τῶν προδρόμων τῆς χορικῆς ποιήσεως, ὅστις ἤκμασε περὶ τὰ μέσα ἢ τὸ τέλος τῆς ἑβδόμης ἑκατονταετηρίδος. [14]) Κατὰ τὸ 728 π.Χ. [15]) Ἐκ τῶν κατωτέρω λεγομένων ὅτι

*νόμους θετικούς· καὶ τοῦτ' ἐστὶν ἰδίως ὑπ' ἐκείνου νενομο-*
*θετημένον, ὅπως ὁ ἀριθμὸς σῴζηται τῶν κλήρων. Χαρών-* 8
*δου δ' ἴδιον μὲν οὐδέν ἐστι πλὴν αἱ δίκαι τῶν ψευδομαρ-*
*τυριῶν (πρῶτος γὰρ ἐποίησε τὴν ἐπίσκηψιν), τῇ δ' ἀκριβείᾳ*
*τῶν νόμων ἐστὶ γλαφυρώτερος καὶ τῶν νῦν νομοθετῶν.*
*(Φαλέου δ' ἴδιον ἡ τῶν οὐσιῶν ἀνομάλωσις, Πλάτωνος δ'*
*ἥ τε τῶν γυναικῶν καὶ παίδων καὶ τῆς οὐσίας κοινότης καὶ*
*τὰ συσσίτια τῶν γυναικῶν, ἔτι δ' ὁ περὶ τὴν μέθην νόμος,*
*τὸ τοὺς νήφοντας συμποσιαρχεῖν, καὶ τὴν ἐν τοῖς πολεμι-*
*κοῖς ἄσκησιν ὅπως ἀμφιδέξιοι γίνωνται κατὰ τὴν μελέτην,*
*ὡς δέον μὴ τὴν μὲν χρήσιμον εἶναι τοῖν χεροῖν τὴν δὲ*
*ἄχρηστον.) Δράκοντος δὲ νόμοι μέν εἰσι, πολιτείᾳ δ' ὑπαρ-* 9
*χούσῃ τοὺς νόμους ἔθηκεν. ἴδιον δ' ἐν τοῖς νόμοις οὐδέν*
*ἐστιν ὅτι καὶ μνείας ἄξιον, πλὴν ἡ χαλεπότης διὰ τὸ τῆς*
*ζημίας μέγεθος. Ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουρ-*
*γὸς ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύ-*
*οντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόν-*
*των· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ*
*πρὸς τὴν συγγνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν*
*μᾶλλον, ἀλλὰ πρὸς τὸ συμφέρον. Ἐγένετο δὲ καὶ Ἀνδρο-*
*δάμας Ῥηγῖνος νομοθέτης Χαλκιδεῦσι τοῖς ἐπὶ Θρᾴκης, οὐ*

---

οὗτος ὥρισε κυρίως νὰ διατηρῆται ὁ ἀριθμὸς τῶν ἀρχικῶν κλήρων τῆς ἐγγείου κτήσεως δύναται νὰ συναχθῇ ὅτι ὁ νόμος οὗτος ἀφεώρα τὸν περιορισμὸν τῆς τεκνοποιίας καὶ τὸν τρόπον τῆς παρ' ἑνὸς τῶν τέκνων κληρονομικῆς διαδοχῆς. 16) Τουτέστι θεμελιώδεις. 17) Μήπως τὸ ἐν παρενθέσει τεμάχιον δὲν ἦτο ἢ ἐπὶ τοῦ προτύπου τοῦ κοινοῦ τῶν σωζομένων ἀρχετύπου σχόλιον παρεισφρῆσαν ἐν τῷ ἀρχετύπῳ εἰς τὸ κείμενον; Ἀθετεῖ τὸ τεμάχιον ὁ Newman καὶ ὁ Wilamowitz 18) Πρόκειται περὶ τοῦ Ἀθηναίου νομοθέτου, τοῦ συντάξαντος τὸν πρῶτον ποινικὸν κώδικα ἐν Ἀθήναις τῷ 621. Πρβλ. τὰ ἐν Ἀθηναίων Πολιτείᾳ κ. IV.

ους ἐκεῖνοι καλοῦν «θετικούς»· [16] Καὶ τοῦτο μάλιστα ἔχει
παρὰ τούτου νομοθετηθῇ, ὅπως διατηρῆται ὁ ἀριθμὸς τῶν
κλήρων. Τοῦ Χαρώνδου δὲ ὅλως πρωτότυπον οὐδὲν ὑπάρχει, 8
πλὴν αἱ δίκαι τῶν ψευδομαρτυριῶν —(διότι πρῶτος ἐθέσπισεν οὗτος τὴν ἐπὶ ψευδομαρτυρίᾳ κατηγορίαν)—, κατὰ τὴν
ἀκρίβειαν ὅμως τῶν νόμων εἰς διατύπωσιν καὶ σαφήνειαν
εἶναι τεχνικώτερος καὶ τῶν νῦν νομοθετῶν [17]. [—('Εν
συνόψει, τῆς ἰδίας τοῦ Φαλέου ἐπινοίας θεσμὸς εἶναι ἡ ἐξίσωσις τῶν περιουσιῶν, τοῦ Πλάτωνος δὲ ἡ κοινοκτημοσύνη
τῶν γυναικῶν καὶ τῶν τέκνων καὶ τῶν ἀγαθῶν καὶ τὰ συσσίτια τῶν γυναικῶν, ἐπὶ πλέον δὲ καὶ ὁ περὶ μέθης νόμος,
καθ' ὃν συμποσιάρχαι δέον νὰ γίνωνται οἱ νήφοντες, καὶ ἡ
ἐν τοῖς πολεμικοῖς γυμνασίοις ἄσκησις ὅπως ἀμφιδέξιοι
γίνωνται κατὰ τὴν χρῆσιν τῶν χειρῶν, καθότι πρέπει νὰ
μὴ εἶναι ἡ μία τῶν χειρῶν χρήσιμος καὶ ἡ ἄλλη ἄχρηστος)—], Εἰς δὲ τὸν Δράκοντα [18] προσγράφονται μὲν νόμοι, 9
ἀλλὰ τούτους εἰς προϋφισταμένην πολιτικὴν τάξιν ἔθεσε,
ἴδιον δέ τι τῶν νόμων αὐτοῦ ἄξιον μνείας οὐδὲν ὑπάρχει, ἢ
φοβερὰ αὐστηρότης κατὰ τὸ μέγεθος τῆς ἐπιβαλλομένης
ποινῆς. Καὶ ὁ Πιττακὸς [19] εἰσηγητὴς νόμων ἐγένετο, ἀλλ'
οὐχὶ καὶ πολιτικῆς τάξεως. Πρωτότυπος δὲ τούτου νόμος
ὁ περὶ τῶν μεθυόντων, καθ' ὃν ἐὰν βλάψῃ τινά τις ἐν μέθῃ
διατελῶν, μεγαλυτέραν ὑφίσταται τιμωρίαν ἢ ὁ νήφων·
ἀκριβῶς δηλαδὴ ἐπειδὴ πλείονες μεθύοντες ἀδικοῦν ἢ νήφοντες, δὲν ἀπέβλεψεν εἰς τὴν ἐπιείκειαν, ἥτις μᾶλλον εἰς τοὺς
ὑπὸ τὴν ἐπίδρασιν τῆς μέθης ἐγκληματοῦντας ἀπονέμεται, ἀλλ' εἰς τὸ δημόσιον συμφέρον. 'Εγένετο ἐπίσης καὶ
ὁ ἐκ Ρηγίου 'Ανδροδάμας [20] νομοθέτης εἰς τοὺς Χαλκιδεῖς

---

[19]) 'Ο τύραννος τῆς Μυτιλήνης. Περὶ αὐτοῦ βλ. ἐν τῇ εἰσαγωγῇ τῆς παρ' ἡμῶν ἐκδόσεως τοῦ 'Αλκαίου ἐν τῇ παρούσῃ βιβλιοθήκῃ ἀριθ. *1.* [20]) "Αγνωστος ἄλλοθεν.

*τὰ*[a] *περί τε τὰ φονικὰ καὶ τὰς ἐπικλήρους ἐστίν· οὐ μὴν ἀλλ' ἴδιόν γε οὐδὲν αὐτοῦ λέγειν ἔχοι τις ἄν.*

*Τὰ μὲν οὖν περὶ τὰς πολιτείας τάς τε κυρίας καὶ τὰς ὑπό τινων εἰρημένας ἔστω τεθεωρημένα τὸν τρόπον τοῦτον.*

---

[a] τὰ H : λείπει ἀπὸ τὰ ἄλλα χ'/φα

τῆς Θράκης, ἀνήκουν δὲ εἰς αὐτὸν οἱ περὶ τὰ φονικὰ καὶ τὰς ἐπικλήρους νόμοι, ἀλλ' ὅμως τῆς ἰδίας δι' ὅλου ἐπινοίας αὐτοῦ οὐδὲν θὰ εἶχε τις νὰ ἀναφέρῃ.

Ἐπὶ τούτοις τὰ ἀφορῶντα εἰς τὰ ἰδιότυπα πολιτεύματα, τά τε κρατοῦντα καὶ τὰ ὑπό τινων ἐπινοηθέντα, ἀρκούντως ἐξητάσθησαν, ὡς ἀνωτέρω.

# ΑΡΙΣΤΟΤΕΛΗΣ

# πολιτικά Ι-ΙΙΙ

# Γ

1274b **1.** *Τῷ περὶ πολιτείας ἐπισκοποῦντι, καὶ τίς ἑκάστη καὶ* 1
*ποία τις, σχεδὸν πρώτη σκέψις περὶ πόλεως ἰδεῖν, τί ποτ᾽
ἐστὶν ἡ πόλις. Νῦν γὰρ ἀμφισβητοῦσιν, οἱ μὲν φάσκοντες
τὴν πόλιν πεπραχέναι τὴν πρᾶξιν, οἱ δ᾽ οὐ τὴν πόλιν ἀλλὰ
τὴν ὀλιγαρχίαν ἢ τὸν τύραννον· τοῦ δὲ πολιτικοῦ καὶ τοῦ
νομοθέτου πᾶσαν ὁρῶμεν τὴν πραγματείαν οὖσαν περὶ πό-
λιν, ἡ δὲ πολιτεία τῶν τὴν πόλιν οἰκούντων ἐστὶ τάξις τις.
Ἐπεὶ δ᾽ ἡ πόλις τῶν συγκειμένων καθάπερ ἄλλο τι τῶν* 2
*ὅλων μὲν συνεστώτων δ᾽ ἐκ πολλῶν μορίων, δῆλον ὅτι πρό-
τερον ὁ πολίτης ζητητέος· ἡ γὰρ πόλις πολιτῶν τι πλῆθός*
1275a *ἐστιν, ὥστε τίνα χρὴ καλεῖν πολίτην καὶ τίς ὁ πολίτης ἐστὶ
σκεπτέον. Καὶ γὰρ ὁ πολίτης ἀμφισβητεῖται πολλάκις· οὐ
γὰρ τὸν αὐτὸν ὁμολογοῦσι πάντες εἶναι πολίτην· ἔστι γάρ
τις ὃς ἐν δημοκρατίᾳ πολίτης ὢν ἐν ὀλιγαρχίᾳ πολλάκις
οὐκ ἔστι πολίτης. Τοὺς μὲν οὖν ἄλλως πως τυγχάνοντας ταύ-* 3
*της τῆς προσηγορίας, οἷον τοὺς ποιητοὺς πολίτας, ἀφετέον·*

---

ΚΕΦ. Ι § § 1-8 περὶ τῆς ἐννοίας τοῦ πολίτου· § 9 περὶ τοῦ ἐν τῇ πράξει ὁρισμοῦ τοῦ πολίτου· § 10 περὶ τῶν ἀποκτησάντων τὴν ἰδιότητα τοῦ πολίτου κατόπιν μεταβολῆς τοῦ πολιτεύματος· § 10-11 θέσις τοῦ ζητήματος ἂν μεταβαλλομένου τοῦ πολιτεύματος συμμεταβάλλεται καὶ ἡ πόλις· § 12 περὶ τοῦ στοιχείου τοῦ «τόπου» ἐν τῷ ὁρισμῷ τῆς πολιτείας· § 13 περὶ τῆς ὁμογενείας τῶν κατοίκων ὡς στοιχείου τῆς πολιτείας· § 14 κατακλεὶς κεφαλαίου.

[1]) Σχέσις πολιτείας καὶ πολιτεύματος·— ἡ νεωτέρα πολιτικὴ θεωρία καὶ πρᾶξις λύει κατ᾽ ἀρχὴν τὸ ζήτημα τοῦτο βάσει τῆς ἀρχῆς τοῦ ἑνιαίου τῆς πολιτείας, διὸ καὶ ἐὰν αἱ πράξεις τοῦ βίᾳ

# ΒΙΒΛΙΟΝ III

1 ΚΕΦ. Ι. Διὰ τὸν ἐγκύπτοντα εἰς τὴν σπουδὴν τῆς 1
πολιτικῆς τάξεως καὶ ἐρευνῶντα τὴν φύσιν καὶ τὸν χαρακτῆρα ἑκάστης, ὡς πρώτη σχεδὸν ἔρευνα ἐπιβάλλεται ἡ περὶ τῆς ‘πόλεως’: Ποία τουτέστιν εἶναι ἡ πραγματικὴ φύσις τῆς πόλεως; Διότι πράγματι κρατεῖ περὶ τὸν ὅρον τοῦτον ἀμφισβήτησις σήμερον· οὕτω, προκειμένου περὶ πράξεώς τινος, οἱ μὲν λέγουν ὅτι ἡ πόλις τὴν ἔπραξεν, οἱ δέ, ὅτι δὲν τὴν ἔπραξεν ἡ πόλις, ἀλλ᾽ ἡ κρατήσασα ταύτης ὀλιγαρχία ἢ ὁ τύραννος[1]. Ἀφ᾽ ἑτέρου βλέπομεν ὅτι πᾶσα ἐνέργεια τοῦ πολιτικοῦ ἀνδρὸς καὶ τοῦ νομοθέτου ἀφορᾷ τὴν πόλιν, ἐνῶ ἡ ‘πολιτεία’ δὲν εἶναι ἢ τάξις τις τῶν κατοικούντων τὴν πόλιν. Ἐπειδὴ δὲ ἡ ‘πόλις’ εἶναί τι σύνθε- 2
τον ἐν τῇ ἐννοίᾳ καὶ οἱουδήποτε ἄλλου ἀποτελοῦντος μὲν ὅλον τι, συγκειμένου ὅμως ἐκ πολλῶν μερῶν, εἶναι φανερὸν ὅτι πρέπει κατὰ πρῶτον νὰ ἐξακριβωθῇ τί εἶναι πολίτης[1]· διότι ἡ πόλις εἶναι πλῆθος πολιτῶν· καὶ συνεπῶς τὸ ὑπὸ λύσιν ζήτημα εἶναι ποῖον πρέπει νὰ ὀνομάζωμεν πολίτην καὶ τίς ἡ φύσις τοῦ πολίτου. Καὶ τοῦτο διότι ἐν ἀμφισβητήσει κεῖται καὶ τοῦ ὅρου τούτου ἡ ἔννοια· καθ᾽ ὅσον δὲν συμφωνοῦν πάντες ἐπὶ τῆς ἰδιότητος τοῦ αὐτοῦ ὡς πολίτου. Καὶ πράγματι συμβαίνει ὁ αὐτός, ἐν μὲν τῇ δημοκρατίᾳ πολίτης νὰ εἶναι, ἐν δὲ τῇ ὀλιγαρχίᾳ πολλάκις νὰ μὴ εἶναι πολίτης. Καὶ τοὺς μὲν ἄλλως πως τυγχάνοντας τῆς προση- 3
γορίας τοῦ πολίτου, ὡς ἐπὶ παραδείγματι τοὺς “ποιητοὺς”[2]

---

καρασταθέντος πολιτεύματος δέον νὰ ἀκυρωθοῦν ὑπὸ νόμου τῆς ἀποκαθισταμένης πολιτείας, μόνον δικαίωμα πρὸς ἀποζημίωσιν ἐγείρεται, ἡ δὲ ὑποχρέωσις πρὸς ἐκτέλεσιν παραμένει. [2]) Οἱ

*ὁ δὲ πολίτης οὐ τῷ οἰκεῖν που πολίτης ἐστίν (καὶ γὰρ μέτοικοι καὶ δοῦλοι κοινωνοῦσι τῆς οἰκήσεως), οὐδ᾽ οἱ τῶν δικαίων μετέχοντες οὕτως ὥστε καὶ δίκην ὑπέχειν καὶ δικάζεσθαι (τοῦτο γὰρ ὑπάρχει καὶ τοῖς*[a] *ἀπὸ συμβόλων κοινωνοῦσιν, καὶ γὰρ ταῦτα τούτοις ὑπάρχει — πολλαχοῦ μὲν οὖν οὐδὲ τούτων τελέως οἱ μέτοικοι μετέχουσιν, ἀλλὰ νέμειν ἀνάγκη προστάτην, διὸ ἀτελῶς πως μετέχουσι τῆς τοιαύτης κοινωνίας), ἀλλὰ καθάπερ καὶ παῖδας τοὺς μήπω* 4 *δι᾽ ἡλικίαν ἐγγεγραμμένους καὶ τοὺς γέροντας τοὺς ἀφειμένους φατέον εἶναι μέν πως πολίτας, οὐχ ἁπλῶς δὲ λίαν ἀλλὰ προστιθέντας τοὺς μὲν ἀτελεῖς τοὺς δὲ παρηκμακότας ἤ τι τοιοῦτον ἕτερον (οὐδὲν γὰρ διαφέρει, δῆλον γὰρ τὸ λεγόμενον). Ζητοῦμεν γὰρ τὸν ἁπλῶς πολίτην καὶ μηδὲν ἔχοντα τοιοῦτον ἔγκλημα διορθώσεως δεόμενον, ἐπεὶ καὶ περὶ τῶν ἀτίμων καὶ φυγάδων ἔστι τὰ τοιαῦτα καὶ διαπορεῖν καὶ λύειν. Πολίτης δ᾽ ἁπλῶς οὐδενὶ τῶν ἄλλων ὁρίζεται μᾶλλον ἢ τῷ μετέχειν κρίσεως καὶ ἀρχῆς. Τῶν δ᾽ ἀρχῶν αἱ*

---

[a] *καὶ τοῖς* <*μετοίκοις καὶ τοῖς*> Buecheler

---

κατ᾽ ἀντίθεσιν πρὸς τοὺς γνησίους. Οὗτοι εἶναι οἱ ξένοι οἵτινες βάσει ὡρισμένων νόμων καθίσταντο πολῖται τῆς πόλεως ἣν κατοικοῦν. 3) *Μέτοικοι* ἐκαλοῦντο οἱ μονίμως κατοικοῦντες ἔν τινι πόλει, δεχομένῃ τοιούτους, ἀλλοδαποί, ὁ θεσμὸς δ᾽ οὗτος ἀνεπτύχθη κυρίως ἐν Ἀθήναις. Πᾶσα οἰκογένοια μετοίκων ἐπλήρωνε κατ᾽ ἔτος εἰς τὸ δημόσιον φόρον, ὅστις ἐκαλεῖτο «μετοίκιον». Εὑρίσκετο δ᾽ ὁ μέτοικος εἰς κατωτέραν τοῦ πολίτου θέσιν, καὶ ἐπροστατεύετο μὲν διὰ τῶν θεσμῶν τῆς δημοσίας τάξεως σχεδὸν ἐξ ἴσου, δὲν ἠδύνατο ὅμως αὐτοπροσώπως νὰ συμβάλληται μετὰ τοῦ δημοσίου, ἀλλ᾽ ὤφειλε νὰ λάβῃ ὡς μεσάζοντα πολίτην ὅστις ἐκαλεῖτο «προστάτης» καὶ πρὸς τοῖς ἄλλοις ἠγγυᾶτο καὶ διὰ τὴν διαγωγὴν τοῦ μετοίκου. Ἐκ τῶν μετοίκων συχνάκις ἀπελάμβανον τινὲς καὶ τοῦ δικαιώματος τῆς ἰσοπολιτείας. 4) *Σύμβολα* ἦσαν αἱ μεταξὺ δύο πόλεων ἐμπορικαὶ συμβάσεις, διὰ τῶν ὁποίων ὡρίζετο ἡ ἀκολουθητέα διαδικασία διὰ τὰ ἀδικήματα τὰ διαπραττό-

πολίτας, ἂς θέσωμεν ἐκτός· ὁ δὲ πολίτης δὲν εἶναι πολίτης ἐκ τοῦ λόγου ὅτι εἶναι κάτοικος ὡρισμένου τόπου — (διότι καὶ οἱ μέτοικοι[3] καὶ οἱ δοῦλοι μετέχουν τῆς οἰκήσεως τῶν πολιτῶν, χωρὶς νὰ εἶναι πολῖται) —, οὔτε ὁ ὑπαγόμενος εἰς τάξιν νόμων ρυθμιζόντων τὰς βιοτικὰς αὐτοῦ σχέσεις, οὕτως ὥστε νὰ δύναται νὰ κατηγορηθῇ καὶ νὰ εἰσαχθῇ εἰς δίκην — (διότι τοῦτο ὑπάρχει καὶ διὰ τοὺς ἐκ τῶν ἐμπορικῶν τῶν πόλεων συμβάσεων ὑποχρεουμένους[4], καθ' ὅσον δύνανται οὗτοι νὰ εἰσάξουν καὶ νὰ εἰσαχθοῦν εἰς δίκην — ἐνῷ πολλαχοῦ οἱ μέτοικοι δὲν μετέχουν τελείως τῶν δικαίων τούτων, ἀλλ' ἀνάγκη νὰ ἐκλέξουν ἐκ τῶν πολιτῶν προστάτην[5], διὸ καὶ ἀτελῶς πως μετέχουν τῆς τοιαύτης τῶν δικαίων κοινωνίας) —. Ἀφ' ἑτέρου, ὡς καὶ τοὺς παῖδας τοὺς 4
μὴ ἐγγεγραμμένους[6] ἀκόμη, οὕτω καὶ τοὺς γέροντας τοὺς ἀπηλλαγμένους τῶν ὑποχρεώσεων τοῦ πολίτου δύναται νὰ ὀνομάσῃ πως πολίτας, οὐχὶ ὅμως καὶ ὅλως ἀπολύτως, ἀλλὰ προσθέτων διὰ τοὺς μὲν τὸ 'ἀτελεῖς' διὰ τοὺς δὲ τὸ 'παρηκμακότες' ἢ ἄλλον τινὰ τῶν τοιούτων χαρακτηρισμῶν (καθ' ὅσον κατ' οὐδὲν διαφέρουν, διότι φανερὸν εἶναι τὸ λεγόμενον). Ἡμεῖς ζητοῦμεν νὰ γνωρίσωμεν τίς ὁ ἀπολύτως πολίτης, ὁ οὐδεμίαν ἔχων τοιαύτην ἔλλειψιν δεομένην διορθώσεως, διότι δύνανται νὰ ἐγερθοῦν τοιαῦτα ζητήματα καὶ περὶ τῶν ἐστερημένων διὰ δικαστικῆς ἀποφάσεως τῶν δικαιωμάτων τοῦ πολίτου καὶ περὶ τῶν ἐξορίστων καὶ ἀντιρρήσεις καὶ λύσεις διάφοροι νὰ προσάγωνται. Ὁ ἀπολύτως δὲ καὶ ἁπλῶς πολίτης δι' οὐδενὸς ἄλλου χαρακτηριστικοῦ στοιχείου ὁρίζεται ἐπὶ τὸ βέλτιστον, ἢ διὰ τοῦ ὅτι μετέχει τῆς δικαστικῆς κρίσεως καὶ τῆς ἀρχῆς. Ἐκ τῶν ἀρχῶν δὲ

---

μενα κατὰ τὰς ἐμπορικὰς συναλλαγάς. Διὰ τὴν δίκην ἐλαμβάνετο πιθανῶς ὁ τόπος τῆς διαπράξεως τοῦ ἀδικήματος, ἠδύνατο δὲ νὰ γίνῃ ἔκκλησις τῆς ἀποφάσεως εἰς ὅμοιον δικαστήριον τῆς ἄλλης ἢ καὶ τρίτης τινὸς πόλεως, ὁριζομένης κοινῇ συναινέσει τῶν διαδίκων. [5]) Βλ. παρόντος κεφαλαίου σημ. 3. [6]) Εἰς τὰς Ἀθήνας οἱ ἔφηβοι κατὰ τὸ δέκατον ὄγδοον ἔτος τῆς ἡλικίας των ἐνεγράφον-

*μέν εἰσι διῃρημέναι κατὰ χρόνον, ὥστ' ἐνίας μὲν ὅλων δὶς τὸν αὐτὸν οὐκ ἔξεστιν ἄρχειν, ἢ διά τινων ὡρισμένων χρόνων· ὁ δ' ἀόριστος, οἷον ὁ δικαστὴς καὶ ἐκκλησιαστής.* 5 *Τάχα μὲν οὖν ἂν φαίη τις οὐδ' ἄρχοντας εἶναι τοὺς τοιούτους, οὐδὲ μετέχειν διὰ ταῦτ' ἀρχῆς· καίτοι γελοῖον τοὺς κυριωτάτους ἀποστερεῖν ἀρχῆς*[a]. *Ἀλλὰ διαφερέτω μηδέν· περὶ ὀνόματος γὰρ ὁ λόγος· ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ δικαστοῦ καὶ ἐκκλησιαστοῦ, τί δεῖ ταῦτ' ἄμφω καλεῖν. Ἔστω δὴ διορισμοῦ χάριν ἀόριστος ἀρχή. Τίθεμεν δὴ πολίτας τοὺς οὕτω μετέχοντας. Ὁ μὲν οὖν μάλιστ' ἂν ἐφαρμόσας πολίτης ἐπὶ πάντας τοὺς λεγομένους πολίτας σχεδὸν τοιοῦτός ἐστιν.* 6 *Δεῖ δὲ μὴ λανθάνειν ὅτι τῶν πραγμάτων ἐν οἷς τὰ ὑποκείμενα διαφέρει τῷ εἴδει, καὶ τὸ μὲν αὐτῶν ἐστὶ πρῶτον τὸ δὲ δεύτερον τὸ δ' ἐχόμενον, ἢ τὸ παράπαν οὐδ' ἔνεστιν*[b], *ᾗ τοιαῦτα, τὸ κοινόν, ἢ γλίσχρως. Τὰς δὲ πολιτείας ὁρῶμεν εἴδει διαφερούσας ἀλλήλων, καὶ τὰς μὲν ὑστέρας τὰς* 1275b *δὲ προτέρας οὔσας· τὰς γὰρ ἡμαρτημένας καὶ παρεκβεβηκυίας ἀναγκαῖον ὑστέρας εἶναι τῶν ἀναμαρτήτων (τὰς δὲ παρεκβεβηκυίας πῶς λέγομεν ὕστερον ἔσται φανερόν). Ὥστε καὶ τὸν πολίτην ἕτερον ἀναγκαῖον εἶναι τὸν καθ' ἑκάστην πολιτείαν. Διόπερ ὁ λεχθεὶς ἐν μὲν δημοκρατίᾳ μάλιστ'*

---

a [ἀρχῆς] ? (sc. *τοῦ πολίτας εἶναι*) ἐκδ.

b *οὐδ' ἔνεστιν* Madvig: *οὐδέν ἐστιν*

---

το εἰς τοὺς καταλόγους τῶν δημοτῶν καὶ ἐλάμβανον τὴν πανοπλίαν, τὴν λεγομένην 'ὅπλα ἱερά'· μετὰ διετῆ δὲ ἄσκησιν ἐνεγράφοντο πολῖται. 7) Ὅπερ πρέπει νὰ νοῆται ὡς: «ἀρχὴ ἄνευ τινὸς χρονικοῦ περιορισμοῦ» καὶ οὐχὶ ὡς ἀορίστου περιεχομένου ἀρχή· διὸ καὶ ἄλλοι μεταφράζουν: «γενικῶς ἀρχή», ἐν ἀντιθέσει πρὸς τὰς εἰδικάς, τὰς ὑπὸ εἰδικῶν τουτέστι περιορισμῶν ὁριζομένας, ἀρχάς. 8)=ΕΙΣΑΓ. III[25].

ἄλλαι μὲν εἶναι αὐστηρῶς κατὰ χρόνον ὡρισμέναι, ὥστε
τινὲς μὲν νὰ μὴν ἐπιτρέπεται νὰ ἀναληφθοῦν δὶς ὑπὸ τοῦ
αὐτοῦ ἀτόμου, τινὲς δὲ νὰ ἐπιτρέπεται μέν, ἀλλὰ μόνον κα-
τόπιν ὡρισμένου χρόνου· καὶ ἄλλαι, ὡς αἱ τοῦ δικαστοῦ καὶ
τοῦ μέλους τῆς ἐκκλησίας, ἀρχαὶ διαρκείας ἐπ' ἀόριστον
χρόνον. Θὰ ἠδύνατο βεβαίως νὰ προβάλῃ τις ἐνταῦθα τὴν 5
ἀντίρρησιν ὅτι οὔτε ἄρχοντες εἶναι οἱ τοιοῦτοι, οὔτε μετέ-
χουν ἐξ αἰτίας τούτων ἀρχῆς τινος· ἀλλ' ἀσφαλῶς εἶναι
κωμικὸν νὰ ἀρνῆταί τις τὴν ὕπαρξιν ἀρχῆς εἰς τοὺς ἔχον-
τας τὰ ἀνώτατα κυριαρχικὰ δικαιώματα. Ἀλλὰ ἂς μὴ ἐπι-
φέρηται διαφορὰ μεταξὺ τούτων, καθ' ὅσον ἡ διαφορὰ
ἔγκειται μόνον εἰς τὸ ὄνομα· δὲν ὑπάρχει τουτέστι κοινὸν
ὄνομα διὰ τὸν δικαστὴν καὶ τὸν ἐκκλησιαστήν, ὅπερ νὰ
δύναται νὰ χαρακτηρίσῃ ἀμφοτέρους. Ἂς δεχθῶμεν λοιπὸν
χάριν τοῦ ὁρισμοῦ, διὰ τὸν συνδυασμὸν τῶν δύο τούτων
ἀρχῶν, τὸν ὅρον «ἀόριστος ἀρχή» [7]. Κατ' ἀκολουθίαν ὁρίζο-
μεν ὡς πολίτας πάντας τοὺς δυναμένους νὰ μετέχουν τῆς
«ἀορίστου ἀρχῆς» ταύτης. Ὁ μὲν λοιπὸν κατ' ἐξοχὴν ἐφαρ-
μόσιμος ἐπὶ πάντων τῶν λεγομένων πολιτῶν ὁρισμὸς τοῦ
πολίτου τοιοῦτος περίπου εἶναι. Πρέπει δὲ νὰ μὴ διαφεύγῃ 6
τὸ ἐπὶ τῶν πραγμάτων, ὅτι εἰς ἣν περίπτωσιν ὡρισμένα
πράγματα διαφέρουν κατὰ τὸ εἶδος καὶ τὸ μὲν ἐξ αὐτῶν
εἶναι πρῶτον, τὸ δὲ δεύτερον ἐκ τοῦ πρώτου προερχόμενον,
τὸ δὲ τρίτον ἐκ τοῦ δευτέρου προερχόμενον, ἢ οὐδεμίαν
ἀπολύτως συγγένειαν ἔχουν μεταξύ των, ὡς εὑρίσκονται
ταῦτα εἰς δεδομένην στιγμήν, ἢ ἀσθενῆ τινα μόνον. Αἱ δὲ
Πολιτεῖαι βλέπομεν ὅτι διαφέρουν ἀλλήλων κατὰ τὸ εἶδος,
καὶ ὅτι αἱ μὲν εἶναι ὕστεραι ἐκείνων, αἱ δὲ πρότεραι τούτων·
κατ' ἀνάγκην δὲ αἱ πλημμελεῖς καὶ κατὰ παρέκβασιν [8] εἶ-
ναι ὑστερογενεῖς αἱ δὲ ἀλώβητοι πρωτογενεῖς — (καὶ διατὶ
εἶναι ὑστερογενεῖς, αἱ κατὰ παρέκβασιν, εἶναι φανερόν) —.
Συνεπῶς καὶ ἡ ἔννοια τοῦ πολίτου, κατ' ἀνάγκην διάφο-
ρος εἶναι ἐν ἑκάστῃ πολιτείᾳ. Διὸ καὶ ὁ διὰ τοῦ ἀνωτέρω
ὁρισμοῦ ὁρισθεὶς ὡς πολίτης ἐν μὲν τῇ δημοκρατίᾳ εἶναι ὁ

ἐστὶ πολίτης, ἐν δὲ ταῖς ἄλλαις ἐνδέχεται μέν, οὐ μὴν ἀναγ- 7
καῖον. Ἐν ἐνίαις[a] γὰρ οὐκ ἔστι δῆμος, οὐδ' ἐκκλησίαν νο-
μίζουσιν ἀλλὰ[b] συγκλήτους, καὶ τὰς δίκας δικάζουσι κατὰ
μέρος, οἷον ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει
τῶν ἐφόρων ἄλλος ἄλλας, οἱ δὲ γέροντες τὰς φονικάς, ἑτέ-
ρᾳ δ' ἴσως ἀρχή τις ἑτέρας. Οὐ τὸν[c] αὐτὸν δὲ τρόπον καὶ
περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δί-
κας. Ἀλλ' ἔχει γὰρ διόρθωσιν ὁ τοῦ πολίτου διορισμός. 8
Ἐν γὰρ ταῖς ἄλλαις πολιτείαις οὐχ ὁ ἀόριστος ἄρχων ἐκ-
κλησιαστής ἐστι καὶ δικαστής, ἀλλ' ὁ κατὰ τὴν ἀρχὴν ὡρι-
σμένος· τούτων γὰρ ἢ πᾶσιν ἢ τισὶν ἀποδέδοται τὸ βουλεύ-
εσθαι καὶ δικάζειν ἢ περὶ πάντων ἢ περὶ τινῶν. Τίς μὲν
οὖν ἐστιν ὁ πολίτης, ἐκ τούτων φανερόν· ᾧ γὰρ ἐξουσία
κοινωνεῖν ἀρχῆς βουλευτικῆς ἢ κριτικῆς, πολίτην ἤδη λέγο-
μεν εἶναι ταύτης τῆς πόλεως, πόλιν δὲ τὸ τῶν τοιούτων
πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς, ὡς ἁπλῶς εἰπεῖν.

2. Ὁρίζονται δὲ[d] πρὸς τὴν χρῆσιν πολίτην τὸν ἐξ ἀμ- 9
φοτέρων πολιτῶν καὶ μὴ θατέρου μόνον, οἷον πατρὸς ἢ μη-
τρός, οἱ δὲ καὶ τοῦτ' ἐπὶ πλέον ζητοῦσιν, οἷον ἐπὶ πάππους
δύο ἢ τρεῖς ἢ πλείους. Οὕτω δὴ ὁριζομένων πολιτικῶς καὶ
ταχέως[e], ἀποροῦσί τινες τὸν τρίτον ἐκεῖνον ἢ τέταρτον, πῶς
ἔσται πολίτης. Γοργίας μὲν οὖν ὁ Λεοντῖνος, τὰ μὲν ἴσως
ἀπορῶν τὰ δ' εἰρωνευόμενος, ἔφη καθάπερ ὅλμους εἶναι
τοὺς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένους, οὕτω καὶ Λαρι-

---

[a] ἐν ἐνίαις Κοραῆς : ἐνίαις χ'/φα
[b] ἀλλ' ἢ Richards
[c] οὐ τὸν Κοραῆς : τὸν χ'/φα
[d] δὲ Γ : δὴ χ'/φα
[e] παχέως Camerarius

---

*) Πρόκειται περὶ τοῦ περιφήμου σοφιστοῦ. Οὗτος ἐγεν-

κατ' ἐξοχὴν πολίτης, ἐν δὲ ταῖς ἄλλαις πολιτείαις ἐνδέχεται μὲν νὰ εἶναι, δὲν εἶναι ὅμως καὶ κατ' ἀνάγκην. Διότι εἰς μερικὰς δὲν ὑφίσταται ὡς στοιχεῖον τῆς πολιτικῆς τάξεως ὁ δῆμος, οὐδὲ ἐκκλησίαν συγκροτοῦν, ἀλλ' εἰς ἐκτάκτους περιστάσεις συνελεύσεις καλοῦν, καὶ τὰς δίκας ἰδιαίτεραι ἀρχαὶ δικάζουν, ὡς ἐπὶ παραδείγματι ἐν Λακεδαίμονι, ἔνθα τὰς ἐκ τῶν συμβάσεων δίκας ἄλλας ἄλλος τῶν ἐφόρων δικάζει, τὰ δὲ μέλη τῆς γερουσίας τὰς φονικάς, καὶ γενικῶς ἄλλας ἄλλη τῶν ἀρχῶν. Κατ' ἄλλον δὲ τρόπον τελοῦνται ταῦτα ἐν Καρχηδόνι, ἔνθα πάσας τὰς δίκας αἱ αὐταὶ ἀρχαὶ δικάζουν. 'Αλλ' ἐνταῦθα ὁ ὁρισμὸς τοῦ πο- 7
8 λίτου ἐπιδέχεται ἀναγκαίαν διασκευήν. Εἰς τὰς ἄλλας δηλαδὴ πολιτείας δὲν εἶναι ὁ «ἀόριστος ἄρχων» μέλος τῆς ἐκκλησίας καὶ δικαστής, ἀλλ' ὁ κατὰ τὴν ἀρχὴν ἣν ἄρχει ὡρισμένος· εἰς τούτους δέ, ἢ ἐν τῇ ὁλομελείᾳ ἢ ἐπὶ μέρους ἀνήκει τὸ δικαίωμα τοῦ βουλεύεσθαι καὶ δικάζειν, ἢ ἐπὶ πασῶν τῶν ὑποθέσεων ἢ ἐπί τινων μόνον. Ποῖος λοιπὸν εἶναι ὁ πολίτης, καθίσταται ἐξ ὅλων τούτων φανερόν: ἐκεῖνον, ὅστις ἔχει τὸ δικαίωμα νὰ μετέχῃ ἀρχῆς βουλευτικῆς ἢ δικαστικῆς, ὀνομάζομεν πολίτην τῆς πόλεως ἐν τῇ ὁποίᾳ ἔχει τὸ δικαίωμα τοῦτο, πόλιν δέ, γενικῶς εἰπεῖν, καλοῦμεν τὸ ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς σύνολον τῶν τοιούτων πολιτῶν.

9 **2.** Εἰς τὴν πρακτικὴν ὅμως ὡς πολίτην ὁρίζουν τὸν γεννηθέντα ἐκ γονέων ἀμφοτέρων πολιτῶν, καὶ μὴ τοῦ ἑνὸς μόνου, τοῦτέστιν ἐκ πατρὸς μόνον πολίτου ἢ μητρός· ἄλλοι δὲ καὶ τοῦτο προσαπαιτοῦν, δύο ἢ τρεῖς ἢ καὶ πλείονας πάππους πολίτας. 'Αλλ' ἐπὶ τοιούτου πρακτικοῦ καὶ ἐσπευσμένου ὁρισμοῦ τίθεται τὸ ζήτημα τίνι τρόπῳ θὰ καθορισθῇ ὡς πολίτης ὁ τρίτος ἐκεῖνος ἢ ὁ τέταρτος πάππος. 'Επὶ τοῦ προκειμένου δὲ ὁ Γοργίας ὁ Λεοντῖνος ἀφ' ἑνὸς ἴσως ἐν ἀπορίᾳ καὶ αὐτὸς εὑρισκόμενος, ἀφ' ἑτέρου δὲ εἰρωνευόμενος εἶπεν ὅτι ὡς ἀκριβῶς ὅλμοι εἶναι οἱ ὑπὸ τῶν ὁλμοποιῶν κατεσκευασμένοι, οὕτω καὶ Λαρισαῖοι εἶναι οἱ ὑπὸ τῶν

*σαίους τοὺς ὑπὸ τῶν δημιουργῶν πεποιημένους· εἶναι γάρ τινας λαρισσοποιούς*[a]. *Ἔστι δ' ἁπλοῦν· εἰ γὰρ μετεῖχον κατὰ τὸν ῥηθέντα διορισμὸν τῆς πολιτείας, ἦσαν ἂν πολῖται· καὶ γὰρ οὐ δυνατὸν ἐφαρμόττειν τὸ ἐκ πολίτου ἢ ἐκ πολίτιδος ἐπὶ τῶν πρώτων οἰκησάντων ἢ κτισάντων. Ἀλλ' ἴσως ἐκεῖ-* 10) *νοι μᾶλλον ἔχουσιν ἀπορίαν ὅσοι μετέσχον μεταβολῆς γενομένης πολιτείας, οἷον*[b] *Ἀθήνησιν ἐποίησε Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολήν· πολλοὺς γὰρ ἐφυλέτευσε ξένους καὶ δούλους μετοίκους. Τὸ δ' ἀμφισβήτημα πρὸς τούτους ἐστὶν οὐ τίς πολίτης, ἀλλὰ πότερον ἀδίκως ἢ δικαίως. Καίτοι κἂν τοῦτό τις ἔτι προσαπορήσειεν, ἆρ' εἰ μὴ δικαίως πολίτης, οὐ πολίτης, ὡς ταὐτὸ δυναμένου τοῦ τ' ἀδίκου καὶ τοῦ ψευδοῦς. Ἐπεὶ δ' ὁρῶμεν καὶ ἄρχοντάς τινας ἀδίκως, οὓς ἄρχειν μὲν φήσομεν ἀλλ' οὐ δικαίως, ὁ δὲ πολίτης ἀρχῇ τινὶ διωρισμένος ἐστίν (ὁ γὰρ κοινωνῶν τῆς τοιᾶσδε ἀρχῆς πολίτης ἐστίν, ὡς ἔφαμεν), δῆλον* **(3.)** *ὅτι πολίτας μὲν εἶναι*

---

[a] *λαρισαιοποιοὺς* Camerarius
[b] *οἷον* <*οὓς*> Richards

---

νήθη ἐν Λεοντίνοις τῆς Σικελίας, ὑπέβη δὲ σπουδαῖος διδάσκαλος τῆς Ρητορικῆς καὶ εἶχε μαθητὰς τοὺς ἐπιφανεστάτους τῆς ἐποχῆς του, τὸν Θουκυδίδη, τὸν Κριτίαν, τὸν Ἀλκιβιάδη, τὸν Ἰσοκράτη, τὸν Μένωνα, τὸν Βοιωτὸν στρατηγὸν Πρόξενον, τοὺς Ἀλευάδας τῆς Θεσσαλίας καὶ πλείστους ἄλλους. Οὗτος ὑπῆρξε μαθητὴς τοῦ Ἐμπεδοκλέους, ἀλλὰ τὴν βαθυτέραν ἐπὶ τοῦ πνεύματός του ἐπίδρασιν ἔσχεν ἡ ἐλεατικὴ φιλοσοφία, κατὰ τὸ πνεῦμα τῆς ὁποίας καὶ διεμόρφωσε τὸ περιλάλητον δόγμα του: *οὐδέν ἐστι, εἰ δὲ καὶ ἔστι τι οὐ δύναται γνωσθῆναι ὑφ' ἡμῶν, εἰ δὲ ὑπάρχει τι καὶ γνωστόν, ἀδίδακτον ἄλλοις.*

10) Τὸ λογοπαίγνιον ἔγκειται εἰς τὸ ἑξῆς: *δημιουργοὶ* ἐκαλοῦντο ἀφ' ἑνὸς οἱ ἐπὶ τῇ ἐγγραφῇ τῶν νέων πολιτῶν τεταγμένοι ὑπάλληλοι, ἀφ' ἑτέρου δὲ οἱ τεχνῖται-κατασκευασταί. Εἰς τὴν δευτέραν κατηγορίαν ὑπῆρχον καὶ δημιουργοὶ (=κατασκευασταὶ) *λαρισῶν* ἢ *λαρισαιῶν* (=εἴδους λεβήτων εἰδικῶς ἐν Λαρίσῃ κατασκευαζομέ-

Λαρισαιοποιῶν κατεσκευασμένοι· ἐπειδὴ ὑπάρχουν κατασκευασταί τινες Λαρισαιοποιοὶ καλούμενοι [10]. Ἀλλὰ τὸ πρᾶγμα εἶναι σαφές· διότι ἐὰν μετεῖχον τῆς πολιτείας κατὰ τὸν ὑφ' ἡμῶν τεθέντα ὁρισμόν, θὰ ἦσαν πολῖται· — διότι δὲν εἶναι δυνατὸν νὰ ἐφαρμόζωμεν τὸν ὁρισμὸν τοῦ γεννηθέντος ἐκ πολίτου καὶ πολίτιδος ἐπὶ τῶν πρώτων οἰκισάντων ἢ κτισάντων τὴν πόλιν. Ἀλλ' εὐλογωτέρα ἴσως ἀπο- 10
ρία γεννᾶται περὶ ἐκείνων τῶν πολιτῶν οἵτινες κατέστησαν πολῖται κατόπιν μεταβολῆς τοῦ πολιτεύματος, ὡς συνέβη ἐν Ἀθήναις διὰ τοῦ Κλεισθένους μετὰ τὴν ἔξωσιν τῶν τυράννων [11] · οὗτος τουτέστιν ἐνέγραψεν εἰς τὰς φυλὰς τῶν Ἀθηνῶν πολλοὺς τῶν ἐν Ἀθήναις μετοίκων, ξένους καὶ δούλους. Ἡ περὶ τούτους δὲ ἀμφισβήτησις ἔγκειται οὐχὶ εἰς τὴν πραγματικότητα τῆς ἰδιότητός των ὡς πολιτῶν, ἀλλ' ἐὰν εἶναι δικαίως ἢ οὐχὶ δικαίως πολῖται. Ἀλλ' ἐν τοιαύτῃ περιπτώσει θὰ ἠδύνατό τις νὰ προσθέσῃ προσαπορῶν ὅτι ἐάν τις δὲν εἶναι δικαίως πολίτης, δὲν εἶναι καὶ πολίτης, καθ' ὅσον οἱ ὅροι ἄδικον καὶ ψευδὲς εἶναι ἰσοδύναμοι. Ἐπειδὴ ὅμως βλέπομεν ὅτι καὶ ἄρχοντές τινες ἄρχουν ἀδίκως, καὶ περὶ τούτων λέγομεν ὅτι ἄρχουν μέν, ἀλλ' οὐχὶ δικαίως, ὁ πολίτης δ' ἀφ' ἑτέρου ὁρίζεται ὡς ὁ ἐν ἀρχῇ τινι κατεστημένος — (διότι, ὡς εἴπομεν, ὁ μετέχων αὐτῆς ἢ ἐκείνης τῆς ἀρχῆς εἶναι πολίτης) —, **(3)** εἶναι φανερὸν ὅτι πρέπει καὶ τούτους [12] πολίτας νὰ εἴπωμεν, ὅσον ἀφορᾷ

---

νων, οἱ ὁποῖοι ἐκαλοῦντο «λάρισαι» ἢ «λαρισαῖαι»), εἰς τὴν πρώτην δὲ δημιουργοὶ *Λαρισαίων* (πολιτῶν τῆς Λαρίσης). [11]) Ἐπωφεληθεὶς πράγματι ὁ Κλεισθένης τῆς συγχύσεως ἥτις ἐπεκράτησε κατ' ἀρχὰς διὰ τοῦ ὑπ' αὐτοῦ εἰσαχθέντος νέου συστήματος κατανομῆς τῶν κατοίκων καὶ τῆς αὐξήσεως τῶν φυλῶν ἀπὸ τεσσάρων εἰς δέκα, πολλοὺς ξένους μετοίκους καὶ δούλους ἐνέγραψεν εἰς τοὺς καταλόγους τῶν φυλῶν ὡς πολίτας Ἀθηναίους. Ἐγεννήθη δὲ ἀργότερον σοβαρὸν ἐκ τούτου ζήτημα, καθ' ὅσον τῷ 451 ἠθέλησε νὰ ἀποκλείσῃ τούτους ὁ Περικλῆς. [12]) Τοὺς ἀδίκως

*φατέον καὶ τούτους, περὶ δὲ τοῦ δικαίως ἢ μὴ δικαίως
συνάπτει πρὸς τὴν εἰρημένην πρότερον ἀμφισβήτησιν. Ἀπο-
ροῦσι γάρ τινες πόθ' ἡ πόλις ἔπραξε καὶ πότε οὐχ ἡ πόλις,
οἷον ὅταν ἐξ ὀλιγαρχίας ἢ τυραννίδος γένηται δημοκρατία.
Τότε γὰρ οὔτε τὰ συμβόλαια ἔνιοι βούλονται διαλύειν (ὡς
οὐ τῆς πόλεως ἀλλὰ τοῦ τυράννου λαβόντος) οὔτ' ἄλλα πολ-
λὰ τῶν τοιούτων, ὡς ἐνίας τῶν πολιτειῶν τῷ κρατεῖν οὔσας
ἀλλ' οὐ διὰ τὸ κοινῇ συμφέρον. Εἴπερ οὖν καὶ δημοκρα-* 11
*τοῦνταί τινες κατὰ τὸν τρόπον τοῦτον, ὁμοίως τῆς πόλεως
φατέον εἶναι ταύτης τὰς τῆς πολιτείας ταύτης πράξεις καὶ
τὰς ἐκ τῆς ὀλιγαρχίας καὶ τῆς τυραννίδος. Ἔοικε δ' οἰ-
κεῖος ὁ λόγος εἶναι τῆς ἀπορίας ταύτης, πῶς ποτὲ χρὴ λέ-
γειν τὴν πόλιν εἶναι τὴν αὐτὴν ἢ μὴ τὴν αὐτὴν ἀλλ' ἑτέραν.
Ἡ μὲν οὖν ἐπιπολαιοτάτη τῆς ἀπορίας ζήτησις περὶ τὸν
τόπον καὶ τοὺς ἀνθρώπους ἐστίν· ἐνδέχεται γὰρ διαζευχθῆ-
ναι τὸν τόπον καὶ τοὺς ἀνθρώπους*[a]*, καὶ τοὺς μὲν ἕτερον
τοὺς δ' ἕτερον οἰκῆσαι τόπον. Ταύτην μὲν οὖν πρᾳοτέραν
θετέον τὴν ἀπορίαν, πολλαχῶς γὰρ τῆς πόλεως λεγομένης
ἐστί πως εὐμάρεια τῆς τοιαύτης ζητήσεως· ὁμοίως δὲ καὶ* 12
*τῶν τὸν αὐτὸν τόπον κατοικούντων ἀνθρώπων πότε δεῖ νο-
μίζειν μίαν εἶναι τὴν πόλιν; Οὐ γὰρ δὴ τοῖς τείχεσιν, εἴη
γὰρ ἂν Πελοποννήσῳ περιβαλεῖν ἓν τεῖχος· τοιαύτη δ' ἴσως
ἐστὶ καὶ Βαβυλὼν καὶ πᾶσα ἥτις ἔχει περιγραφὴν μᾶλλον
ἔθνους ἢ πόλεως· ἧς γέ φασιν ἑαλωκυίας τρίτην ἡμέραν*

---

[a] *τὸν—ἀνθρώπους* ἀθετεῖ ὁ Susemihl

---

ὄντας πολίτας. [13]) Τουτέστι ἂν αἱ πράξεις τοῦ ἄρχοντος (καὶ ἐν προκειμένῳ τοῦ καταστήσαντος τούτους πολίτας) πρέπει νὰ θεωρηθοῦν πράξεις τῆς πόλεως ἢ ὄχι. Βλ. σημ. 1. [14]) Δηλ. οὐχὶ πρὸς τὸ κοινὸν συμφέρον. [15]) Βλ. σημ. II. iii[10]. [16]) Τῆς Βαβυλῶνος.

δὲ εἰς τὸ ζήτημα ἐὰν δικαίως ἢ οὐχὶ δικαίως εἶναι πολῖται, τοῦτο συνάπτεται μετὰ τῆς προειρημένης ἀμφισβητήσεως [13]. Τίθεται δηλαδὴ καὶ πάλιν τὸ ζήτημα πότε ἡ πόλις εἶναι ὑπεύθυνος διὰ πρᾶξιν τινὰ καὶ πότε δὲν εἶναι, οἷον εἰς ἣν περίπτωσιν ἐξ ὀλιγαρχίας ἢ τυραννίας κατασταθῇ δημοκρατία. Διότι τότε πολλοὶ τῶν δημοσίων ὀφειλετῶν ἀρνοῦνται νὰ καταβάλουν τὰ ὀφειλόμενα, (ὡς οὐχὶ τῆς πόλεως, ἀλλὰ τοῦ τυράννου μέλλοντος νὰ λάβῃ), καὶ ἄλλας πολλὰς τῶν τοιούτων ὑποχρεώσεων νὰ ἐκπληρώσουν, ἐπὶ τῷ λόγῳ ὅτι τινὰ τῶν πολιτευμάτων κρατοῦν διὰ τῆς βίας, οὐχὶ δὲ πρὸς τὸ κοινὸν συμφέρον. Εἰς ἣν δὲ περίπτωσιν 11
ὡρισμέναι δημοκρατίαι κατ' αὐτὸν τὸν τρόπον κυβερνῶνται [14], αἱ πράξεις τοῦ πολιτεύματος εἰς αὐτὴν τὴν περίπτωσιν θὰ ἠδύναντο νὰ θεωρηθοῦν ὡς πράξεις αὐτῆς τῆς πόλεως, ὑφ' ἣν ἔννοιαν καὶ αἱ πράξεις τῆς ὀλιγαρχίας καὶ τῆς τυραννίας. Φαίνεται δὲ ὅτι ὁ φυσικὸς λόγος τῆς ἀπορίας ταύτης εἶναι τὸ ζήτημα, ὑπὸ ποίας προϋποθέσεις ὀφείλομεν νὰ δεχθῶμεν ὅτι ἡ πόλις παραμένει ἡ αὐτὴ ἢ μεταβάλλεται ὥστε νὰ καθίσταται ἑτέρα πόλις. Καὶ ἡ μὲν ἐπιπολαιοτάτη τοῦ ζητήματος ἔρευνα λαμβάνει ὡς πρῶτα στοιχεῖα τὸν τόπον καὶ τοὺς ἀνθρώπους· ἀλλ' ὁ τόπος καὶ οἱ ἄνθρωποι δύνανται νὰ διαζευχθοῦν καὶ οἱ μὲν εἰς ἄλλον οἱ δὲ εἰς ἄλλον τόπον νὰ κατοικήσουν. Ἀπ' αὐτῆς δὲ τῆς ἀπόψεως ἐξεταζομένου τοῦ ζητήματος ἡ λύσις καθίσταται εὐχερεστέρα· διότι λόγῳ τοῦ ὅτι ὑπὸ πολλὰς ἐκδοχὰς λαμβάνεται ὁ ὅρος πόλις, διευκολύνεταί πως ἡ τοιαύτη ἔρευνα.
Ὁμοία ἐπίσης ἐγείρεται ἀπορία καὶ περὶ τῶν κατοικούν- 12
των τὸν αὐτὸν τόπον ἀνθρώπων, ἐκ ποίων δηλαδὴ στοιχείων τοῦ τόπου κρίνοντες θὰ εἴπωμεν ὅτι ἡ πόλις των εἶναι μία καὶ ἡ αὐτὴ πόλις. Ὄχι βεβαίως ἐκ τῶν τειχῶν, διότι θὰ ἦτο δυνατὸν καὶ ἡ Πελοπόννησος ὁλόκληρος νὰ περικλεισθῇ δι' ἑνὸς τείχους· τοιαύτη δὲ περίπου εἶναι καὶ ἡ Βαβυλὼν [15] καὶ πᾶσα ἄλλη ἀνθρώπων οἴκησις ἥτις ἔχει περίμετρον μᾶλλον ἔθνους ἢ πόλεως· λέγεται δὲ περὶ ταύτης [16] ὅτι συνοικίαι τινὲς μόλις μετὰ τρεῖς ἡμέρας ἀντελή-

*οὐκ αἰσθέσθαι τι μέρος τῆς πόλεως. Ἀλλὰ περὶ μὲν ταύ-*
*της τῆς ἀπορίας εἰς ἄλλον καιρὸν χρήσιμος ἡ σκέψις (περὶ*
*γὰρ μεγέθους τῆς πόλεως, τό τε πόσον καὶ πότερον ἔθνος ἓν*
*ἢ πλείω συμφέρει, δεῖ μὴ λανθάνειν τὸν πολιτικόν)· ἀλλὰ τῶν* 13
*αὐτῶν κατοικούντων τὸν αὐτὸν τόπον, πότερον ἕως ἂν ᾖ τὸ*
*γένος ταὐτὸ τῶν κατοικούντων τὴν αὐτὴν εἶναι φατέον πό-*
*λιν, καίπερ ἀεὶ τῶν μὲν φθειρομένων τῶν δὲ γινομένων,*
*ὥσπερ καὶ ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτοὺς καὶ κρή-*
*νας τὰς αὐτὰς καίπερ ἀεὶ τοῦ μὲν ἐπιγινομένου νάματος*
*τοῦ δ' ὑπεξιόντος, ἢ τοὺς μὲν ἀνθρώπους φατέον εἶναι τοὺς*
**1276b** *αὐτοὺς διὰ τὴν τοιαύτην αἰτίαν τὴν δὲ πόλιν ἑτέραν; Εἴπερ*
*γάρ ἐστι κοινωνία τις ἡ πόλις, ἔστι δὲ κοινωνία πολιτῶν*
*πολιτεία*[a], *γιγνομένης ἑτέρας τῷ εἴδει καὶ διαφερούσης*
*τῆς πολιτείας ἀναγκαῖον εἶναι δόξειεν ἂν καὶ τὴν πόλιν*
*εἶναι μὴ τὴν αὐτήν, ὥσπερ γε καὶ χορὸν ὁτὲ μὲν κωμικὸν*
*ὁτὲ δὲ τραγικὸν ἕτερον εἶναί φαμεν τῶν αὐτῶν πολλάκις ἀν-*
*θρώπων ὄντων, ὁμοίως δὲ καὶ πᾶσαν ἄλλην κοινωνίαν καὶ* 14
*σύνθεσιν ἑτέραν ἂν εἶδος ἕτερον ᾖ τῆς συνθέσεως, οἷον ἁρ-*
*μονίαν τῶν αὐτῶν φθόγγων ἑτέραν εἶναι λέγομεν*[b] *ἂν ὁτὲ*
*μὲν ᾖ Δώριος ὁτὲ δὲ Φρύγιος. Εἰ δὴ τοῦτον ἔχει τὸν τρό-*
*πον, φανερὸν ὅτι μάλιστα λεκτέον τὴν αὐτὴν πόλιν εἰς τὴν*
*πολιτείαν βλέποντας· ὄνομα δὲ καλεῖν ἕτερον ἢ ταὐτὸν ἔξεστι*
*καὶ τῶν αὐτῶν κατοικούντων αὐτὴν καὶ πάμπαν ἑτέρων ἀν-*

---

[a] *πολιτεία* Congreve ; *πολιτεία* χ'/φα

[b] *λέγομεν* Alb. : *λέγοιμεν* χ'/φα : (*ἑτέραν ἂν εἶναι λέγοιμεν*? Newman)

---

[17]) Τὸ συμπέρασμα λοιπὸν τοῦ κεφαλαίου εἶναι ὅτι: μεταβαλλομένου τοῦ πολιτεύματος δὲν παραμένει ἡ πόλις ἡ αὐτή, ἀπεναντίας δὲ ἡ αὐτὴ παραμένει καὶ ἂν μεταβληθοῦν οἱ πολῖται, παραμένῃ δὲ τὸ πολίτευμα. Διὸ ἡ φράσις δέον νὰ ἑρμηνεύηται: «δυνάμεθα δὲ μὲ διάφορον ὄνομα νὰ καλῶμεν ταύτην, ἐὰν μεταβληθῇ τὸ πολίτευμα, ἢ καὶ μὲ τὸ αὐτό, παραμένοντος τοῦ αὐτοῦ πολιτεύματος καὶ ὅταν ὑπὸ τῶν αὐτῶν ἀνθρώπων καὶ

φθησαν τὴν ἅλωσιν τῆς πόλεως. Ἀλλὰ περὶ τοῦ ζητήματος τούτου ἀλλαχοῦ θὰ παραστῇ ἀνάγκη ἐρεύνης —(διότι τὰ περὶ μεγέθους τῆς πόλεως καὶ περὶ τοῦ ἀριθμοῦ τῶν πολιτῶν καὶ περὶ τοῦ ἂν συμφέρῃ ὁ πληθυσμὸς νὰ ἀποτελῆται ἐκ μιᾶς ἢ περισσοτέρων φυλῶν, ταῦτα ὡς ἐπίμαχα ζητήματα δὲν πρέπει νὰ διαφεύγουν τοῦ ἐνδιαφέροντος τοῦ πολιτικοῦ)—· ἀλλὰ καὶ προκειμένου περὶ τῶν κατοικούν- 13
των τὸν αὐτὸν τόπον, πρέπει νὰ παραδεχθῶμεν, ὅτι ἐφ' ὅσον διατηρεῖται ἡ ὁμοιογένεια τῶν κατοικούντων, ἡ πόλις παραμένει ἡ αὐτή, μολονότι συνεχῶς ἐκ τούτων οἱ μὲν ἀποθνήσκουν οἱ δὲ γεννῶνται, ὡς ἀκριβῶς καὶ τοὺς ποταμοὺς θεωροῦμεν παραμένοντας τοὺς αὐτοὺς καὶ τὰς κρήνας τὰς αὐτάς, μολονότι συνεχῶς ἄλλο μὲν ὕδωρ ἀναβλύζει ἄλλο δὲ ἐκρέει καὶ φεύγει, — ἢ νὰ παραδεχθῶμεν ὅτι οἱ ἄνθρωποι χάρις εἰς τὴν ὁμοιογένειαν παραμένουν οἱ αὐτοί, ἡ δὲ πόλις μεταβάλλεται; Ἐπὶ πλέον ἐὰν ἡ πόλις εἶναι εἶδός τι κοινωνίας, πολιτεία δὲ ἡ πρὸς ἀλλήλους σχέσις τῶν πολιτῶν, θὰ ἐγεννᾶτο κατ' ἀνάγκην ἡ ἀντίληψις ὅτι εἰς ἣν περίπτωσιν ἡ πολιτεία καθίστατο ἑτέρα κατὰ τὸ εἶδος καὶ διάφορος, καὶ ἡ πόλις κατ' ἀνάγκην δὲν θὰ ἦτο ἡ αὐτή· παράδειγμα δὲ ἀναλόγου φαινομένου ὁ θεατρικὸς χορός, ὅστις, μολονότι ἐκ τῶν αὐτῶν προσώπων συνίσταται, διακρίνεται ἄλλοτε μὲν εἰς κωμικὸν ἄλλοτε δὲ εἰς τραγικόν.
Ὁμοίως δὲ καὶ πᾶσαν ἄλλην κοινωνίαν καὶ σύνθεσιν διά- 14
φορον θεωροῦμεν ὅταν διάφορον εἶναι τὸ εἶδος τῆς συγκροτήσεως αὐτῆς· ἐπὶ παραδείγματι ἡ ἁρμονία μολονότι ἐκ τῶν αὐτῶν ἀποτελεῖται φθόγγων διάφορος θεωρεῖται ὅταν εἶναι δώριος καὶ διάφορος ὅταν εἶναι φρύγιος. Ἐὰν λοιπὸν ἡ τοιαύτη ἄποψις εἶναι ὀρθή, φανερὸν ὅτι θὰ θεωρήσωμεν τὴν πόλιν ὡς παραμένουσαν τὴν αὐτὴν ἐφ' ὅσον καὶ τὸ πολίτευμα τὸ αὐτὸ παραμένει· δυνάμεθα δὲ μὲ διάφορον ὄνομα νὰ καλῶμεν ταύτην ἢ καὶ μὲ τὸ αὐτὸ καὶ ὅταν ὑπὸ τῶν αὐτῶν ἀνθρώπων καὶ ὅταν ὑπὸ διαφόρων κατοικῆται [17]. Ἐὰν δὲ εἶναι δίκαιον τὸ νὰ ἀρνῆταί τις τὴν ἐκπλή-

*θρώπων. Εἰ δὲ δίκαιον διαλύειν ἢ μὴ διαλύειν ὅταν εἰς ἑτέραν μεταβάλλῃ πολιτείαν ἡ πόλις, λόγος ἕτερος.*

**4.** *Τῶν δὲ νῦν εἰρημένων ἐχόμενόν ἐστιν ἐπισκέψασθαι* II *πότερον τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς ἀγαθοῦ καὶ πολίτου σπουδαίου θετέον ἢ μὴ τὴν αὐτήν. Ἀλλὰ μὴν εἴ γε τοῦτο τυχεῖν δεῖ ζητήσεως, τὴν τοῦ πολίτου τύπῳ τινὶ πρῶτον ληπτέον. Ὥσπερ οὖν ὁ πλωτὴρ εἷς τις τῶν κοινωνῶν ἐστίν, οὕτω καὶ τὸν πολίτην φαμέν. Τῶν δὲ πλωτήρων καίπερ ἀνομοίων ὄντων τὴν δύναμιν (ὁ μὲν γάρ ἐστιν ἐρέτης, ὁ δὲ κυβερνήτης, ὁ δὲ πρωρεύς, ὁ δ' ἄλλην τιν' ἔχων τοιαύτην ἐπωνυμίαν) δῆλον ὡς ὁ μὲν ἀκριβέστατος ἑκάστου λόγος ἴδιος ἔσται τῆς ἀρετῆς, ὁμοίως δὲ καὶ κοινός τις ἐφαρμόσει πᾶσιν· ἡ γὰρ σωτηρία τῆς ναυτιλίας ἔργον ἐστὶν αὐτῶν πάντων, τούτου γὰρ ἕκαστος ὀρέγεται τῶν πλωτήρων. Ὁμοίως τοίνυν καὶ τῶν πολιτῶν, καίπερ ἀνομοίων ὄντων,* 2 *ἡ σωτηρία τῆς κοινωνίας ἔργον ἐστί, κοινωνία δ' ἐστὶν ἡ πολιτεία, διὸ τὴν ἀρετὴν ἀναγκαῖον εἶναι τοῦ πολίτου πρὸς τὴν πολιτείαν. Εἴπερ οὖν ἐστι πλείω πολιτείας εἴδη, δῆλον ὡς οὐκ ἐνδέχεται τοῦ σπουδαίου πολίτου μίαν ἀρετὴν εἶναι τὴν τελείαν· τὸν δ' ἀγαθὸν ἄνδρα φαμὲν κατὰ μίαν ἀρετὴν εἶναι τὴν τελείαν*[a]. *Ὅτι μὲν οὖν ἐνδέχεται πολίτην ὄντα σπουδαῖον μὴ κεκτῆσθαι τὴν ἀρετὴν καθ' ἣν σπουδαῖος ἀνήρ, φανερόν. Οὐ μὴν ἀλλὰ καὶ κατ' ἄλλον τρόπον ἔστι* 3

---

[a] *τὸν δ'—τελείαν ΓΡ¹* : ἐλλείπει ἀπὸ τὰ λοιπά

---

ὅταν ὑπὸ διαφόρων κατοικῆται»·— ἡ μεταβολὴ δηλαδὴ τοῦ ἀνθρωπίνου στοιχείου οὔτε τὴν πόλιν μεταβάλλει, οὔτε τὴν μεταβολὴν (ἐκ τῆς μεταβολῆς τοῦ πολιτεύματος) τῆς πόλεως ἐμποδίζει, εἶναι τουτέστιν, ἀνεξάρτητον καὶ τῆς παραμονῆς καὶ τῆς μεταβολῆς αὐτῆς.

ΚΕΦ. II § § 1-11 περὶ τῶν ἀρετῶν τοῦ πολίτου ὡς ἄρχοντος καὶ ἀρχομένου.

[1]) Ὑπὸ τὴν ἔννοιαν τοῦ συστήματος τῶν κανόνων αὐτῆς ἡ

ρωσιν τῶν πρὸς τὴν πόλιν ὀφειλῶν ὅταν μεταβάλλεται τὸ πολίτευμα τῆς πόλεως, εἶναι ἄλλο ζήτημα.

4 ΚΕΦ. II. Ἐν συνεχείᾳ τῶν μέχρι τοῦδε λεχθέντων πρέπει νὰ ἐξετάσωμεν τὸ ἑξῆς ζήτημα: ἡ ἀρετὴ τοῦ ἐξόχου ἀνδρὸς καὶ τοῦ ἐξόχου πολίτου εἶναι ἡ αὐτὴ ἢ ὄχι; Ἀλλ' ἐὰν πράγματι τοῦτο δεῖται ἀπαραιτήτως ἐρεύνης, πρέπει κατ' ἀρχὴν νὰ καθορίσωμεν γενικῶς τὸν τύπον τῆς ἀρετῆς τοῦ πολίτου. Ὡς λοιπὸν ἕκαστος τοῦ πληρώματος ἀποτελεῖ μέλος τῆς κοινωνίας του, οὕτω καὶ ὁ πολίτης εἶναι μέλος τῆς κοινωνίας του. Ἐπὶ δὲ τῶν μελῶν τοῦ πληρώματος θὰ ἀναγνωρίσωμεν, ὅτι, μολονότι ἀνόμοια εἶναι κατὰ τὴν θέσιν ἣν ἕκαστον ἐν τῷ πλοίῳ ἔχει —(διότι ὁ μὲν εἶναι κωπηλάτης, ὁ δὲ πλοίαρχος, ὁ δὲ πρωρεύς, ἄλλος δὲ ἄλλην ἀναλόγως τῆς εἰδικότητός του ἐπωνυμίαν ἔχει) —χαρακτηρίζεται μὲν ἕκαστον ἀκριβέστατα ἐκ τῆς ὑπὸ τοῦ εἰδικοῦ ἔργου του ἀπαιτουμένης ἀρετῆς, ἀλλ' ὅτι ὑπάρχει καὶ κοινόν τι ((ἐκ τοῦ κοινοῦ των ἔργου)) γνώρισμα χαρακτηρίζον πάντα συλλήβδην· διότι ἡ διασφάλισις τοῦ θαλασσίου ταξιδίου εἶναι ἔργον πάντων αὐτῶν, καθ' ὅσον τοῦτο ἀκριβῶς ἕκαστος τοῦ πληρώματος ἐπιθυμεῖ. Ὁμοίως 1
λοιπὸν καὶ ἐπὶ τῶν πολιτῶν· μολονότι ἀνόμοιοι εἶναι, ἔργον ἔχουν ἅπαντες τὴν διασφάλισιν τῆς κοινωνίας, δεδομένου δὲ ὅτι κοινωνία εἶναι αὐτὴ ἡ πολιτεία [1], ἕπεται ὅτι ἡ ἀρετὴ τοῦ πολίτου τελεῖ ἐν ἀναφορᾷ πρὸς τὴν πολιτείαν. Ἐὰν λοιπόν, ὅπως καὶ συμβαίνει, ὑπάρχουν πλείονα τοῦ ἑνὸς εἴδη πολιτείας, εἶναι φανερὸν ὅτι δὲν εἶναι ἐνδεχόμενον ἡ ἀρετὴ τοῦ ἐξόχου πολίτου νὰ εἶναι μία καὶ ἡ αὐτή, ἡ 'τελεία'· ἐνῷ ἀφ' ἑτέρου τὸν ἔξοχον ὡς ἄνθρωπον χαρακτηρίζομεν ὡς ἔξοχον κατὰ μίαν ἀρετήν, τὴν τελείαν. Συνεπῶς τὸ ὅτι ἐνδέχεται πολίτης τις, ὢν ἔξοχος πολίτης, νὰ μὴ ἔχῃ τὴν ἀρετὴν καθ' ἣν καθίσταταί τις ἔξοχος ὡς ἄνθρωπος, εἶναι φανερόν. Ἀλλ' ὅμως εἶναι δυνατὸν καὶ κατ' ἄλλον τρόπον 3

ἐκείνης τῆς μορφῆς, τῶν οριζόντων τὴν πρὸς ἄλληλα καὶ πρὸς

διαποροῦντας ἐπελθεῖν τὸν αὐτὸν λόγον περὶ τῆς ἀρίστης πολιτείας. Εἰ γὰρ ἀδύνατον[a] ἐξ ἁπάντων σπουδαίων ὄντων εἶναι πόλιν, δεῖ δ' ἕκαστον τὸ καθ' αὑτὸν ἔργον εὖ ποιεῖν, τοῦτο δ' ἀπ' ἀρετῆς, ἐπειδὴ[b] ἀδύνατον ὁμοίους εἶναι πάντας τοὺς πολίτας, οὐκ ἂν εἴη μία ἀρετὴ πολίτου καὶ ἀν-
1277a δρὸς ἀγαθοῦ· τὴν μὲν γὰρ τοῦ σπουδαίου πολίτου δεῖ πᾶσιν ὑπάρχειν (οὕτω γὰρ ἀρίστην ἀναγκαῖον εἶναι τὴν πόλιν), τὴν δὲ τοῦ ἀνδρὸς τοῦ ἀγαθοῦ ἀδύνατον, εἰ μὴ πάντας ἀναγκαῖον ἀγαθοὺς[c] εἶναι τοὺς ἐν τῇ σπουδαίᾳ πόλει πολίτας. Ἔτι ἐπεὶ ἐξ ἀνομοίων ἡ πόλις — ὥσπερ ζῷον εὐθὺς 4
ἐκ ψυχῆς καὶ σώματος, καὶ ψυχὴ ἐκ λόγου καὶ ὀρέξεως, καὶ οἰκία ἐξ ἀνδρὸς καὶ γυναικὸς καὶ κτῆσις[d] ἐκ δεσπότου καὶ δούλου, τὸν αὐτὸν τρόπον καὶ πόλις ἐξ ἁπάντων τε τούτων καὶ πρὸς τούτοις ἐξ ἄλλων ἀνομοίων συνέστηκεν εἰδῶν —, ἀνάγκη μὴ μίαν εἶναι τὴν τῶν πολιτῶν πάντων ἀρετήν; ὥσπερ οὐδὲ τῶν χορευτῶν κορυφαίου καὶ παραστάτου. Διότι 5
μὲν τοίνυν ἁπλῶς οὐχ ἡ αὐτή, φανερὸν ἐκ τούτων· ἀλλ' ἆρα ἔσται τινὸς ἡ αὐτὴ ἀρετὴ πολίτου τε σπουδαίου καὶ ἀνδρὸς σπουδαίου; Φαμὲν δὴ τὸν ἄρχοντα τὸν σπουδαῖον ἀγαθὸν εἶναι καὶ φρόνιμον, τὸν δὲ πολιτικὸν[e] ἀναγκαῖον εἶναι φρόνιμον. Καὶ τὴν παιδείαν δ' εὐθὺς ἑτέραν εἶναι λέγουσί τινες

---

[a] δυνατὸν Bernays
[b] ἐπειδὴ ΓΜ : ἐπειδὴ δὲ $P^1$ : ἐπεὶ δὲ λοιπά : ἐπεὶ Spengel
[c] ὁμοίους Bernays
[d] [κτῆσις] Bernays
[e] πολίτην οὐκ Congreve

---

τὸ σύνολον σχέσιν τοῦ ἀτόμου. [2]) Βλ. σημ. I, i[61]. [3]) Ἐν τῇ ἐνεργητικῇ μορφῇ. [4]) Ἐκ συνδυασμῶν ἀντιθέτων. [5]) Ἀνδρῶν, γυναικῶν, δεσποτῶν, δούλων. [6]) Οὕτω πρέπει νὰ ἀπο-

ἐρευνῶντες εἰς τὸ αὐτὸ νὰ καταλήξωμεν συμπέρασμα, λαμβάνοντες ὡς ἀφετηρίαν τὴν ἀρίστην πολιτείαν. Δεδομένου δηλαδὴ ὅτι εἶναι ἀδύνατον νὰ ἀποτελῆται ἡ ἀρίστη πολιτεία ἐξ ἀνθρώπων ἁπάντων ἐξόχων, ὡς ἀνθρώπων, καὶ ὅτι ἕκαστος τῶν πολιτῶν πρέπει νὰ ἐκτελῇ τὸ ἔργον, ἐφ᾽ ᾧ ἐτάχθη, καλῶς, τοῦτο δὲ ἀναλόγως τῶν ἱκανοτήτων του, —ἐπειδὴ πάντες οἱ πολῖται εἶναι ἀδύνατον νὰ εἶναι ὅμοιοι ὡς πολῖται, ἡ ἀρετὴ τοῦ ἀγαθοῦ πολίτου δὲν θὰ ἦτο ἡ αὐτὴ μὲ τὴν ἀρετὴν τοῦ ἀγαθοῦ ἀνδρός· διότι ἡ μὲν ἀρετὴ τοῦ ἐξόχου πολίτου πρέπει εἰς πάντας νὰ ὑπάρχῃ — (διότι μόνον ὑπὸ τὴν ἀναγκαίαν αὐτὴν προϋπόθεσιν εἶναι δυνατὸν νὰ εἶναι ἡ πόλις ἀρίστη) —, ἡ δὲ τοῦ ἐξόχου ἀνδρὸς ἀδύνατον εἶναι νὰ ὑπάρχῃ εἰς πάντας, καθ᾽ ὅσον δὲν εἶναι ἀπαραίτητος ὅρος νὰ εἶναι οἱ τῆς ἐξόχου πόλεως πολῖται ἔξοχοι καὶ ὡς ἄνθρωποι. Ἐπὶ πλέον ἐπειδὴ ἡ πόλις ἐξ ἀνο- 4
μοίων σύγκειται — διότι ὅπως τὸ ζῶον (ἔστω τοῦτο τὸ παράδειγμα) ἀποτελεῖται ἐκ ψυχῆς καὶ σώματος, ἡ δὲ ψυχὴ ἐκ τοῦ νοητικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ [2], καὶ ἡ οἰκία ἐξ ἀνδρὸς καὶ γυναικὸς καὶ ἡ 'κτῆσις' [3] ἐκ δεσπότου καὶ δούλου, κατὰ τὸν αὐτὸν τρόπον [4] καὶ ἡ πόλις ἀποτελεῖται ἐξ ὅλων τούτων τῶν προσώπων [5] καὶ πρὸς τούτοις καὶ ἐξ ἄλλων ἀνομοίων καὶ κατὰ τοῦτο διακρινομένων [6] προσώπων —, κατ᾽ ἀνάγκην ἡ ἀρετὴ πάντων τῶν πολιτῶν δὲν εἶναι δυνατὸν νὰ εἶναι μία καὶ ἡ αὐτή, ὡς ἀκριβῶς ἐπὶ τῶν μελῶν τοῦ χοροῦ ἡ ἀρετὴ τοῦ κορυφαίου δὲν εἶναι ἡ αὐτὴ μὲ τὴν τοῦ παραστάτου. Διὰ ποῖον λοιπὸν λόγον ἡ ἀρετὴ πάντων 5
τῶν πολιτῶν δὲν εἶναι ἡ αὐτὴ ἀκριβῶς δι᾽ ἕκαστον, εἶναι φανερὸν ἐκ τούτων· — ἀλλ᾽ ἆρά γε εἶναι δυνατὸν ἐν τῷ προσώπῳ τινὸς νὰ ταυτίζηται ἡ ἀρετὴ τοῦ τελείου πολίτου καὶ τοῦ τελείου ἀνθρώπου; Δὲν εἶναι δὲ τοῦτο ἀδύνατον, ἀφοῦ ἀναγνωρίζομεν ὅτι ὁ ἔξοχος ἄρχων εἶναι καὶ τέλειος τὸ ἦθος καὶ ἔμφρων, ὅτι δὲ καὶ ὁ πολιτικὸς ἀπαραιτήτως πρέπει νὰ εἶναι ἔμφρων. Καὶ ἡ ἐκπαίδευσις τοῦ ἄρχοντος ἰσχυρίζονται τινὲς ὅτι πρέπει νὰ εἶναι διάφορος, ὅπως ἐπὶ

*τοῦ ἄρχοντος, ὥσπερ καὶ φαίνονται οἱ τῶν βασιλέων υἱεῖς ἱππικὴν καὶ πολεμικὴν παιδευόμενοι, καὶ Εὐριπίδης φησὶ*

*μή μοι τὰ κόμψ', ἀλλ' ὧν πόλει δεῖ,*

*ὡς οὖσάν τινα ἄρχοντος παιδείαν. Εἰ δὲ ἡ αὐτὴ ἀρετὴ ἄρχοντός τε ἀγαθοῦ καὶ ἀνδρὸς ἀγαθοῦ, πολίτης δ' ἐστὶ καὶ ὁ ἀρχόμενος, οὐχ ἡ αὐτὴ ἁπλῶς ἂν εἴη πολίτου καὶ ἀνδρός, τινὸς μέντοι πολίτου· οὐ γὰρ ἡ αὐτὴ ἄρχοντος καὶ πολίτου, καὶ διὰ τοῦτ' ἴσως Ἰάσων ἔφη πεινῆν ὅτε μὴ τυραννοῖ, ὡς οὐκ ἐπιστάμενος ἰδιώτης εἶναι. Ἀλλὰ μὴν ἐπαινεῖταί γε τὸ* 7
*δύνασθαι ἄρχειν καὶ ἄρχεσθαι, καὶ πολίτου δοκεῖ που* [a] *ἡ ἀρετὴ εἶναι τὸ δύνασθαι καὶ ἄρχειν καὶ ἄρχεσθαι καλῶς. Εἰ οὖν τὴν μὲν τοῦ ἀγαθοῦ ἀνδρὸς τίθεμεν ἀρχικήν, τὴν δὲ τοῦ πολίτου ἄμφω, οὐκ ἂν εἴη ἄμφω ἐπαινετὰ ὁμοίως. Ἐπεὶ οὖν ποτὲ δοκεῖ* [b] *ἀμφότερα,* [c] *καὶ οὐ ταὐτὰ δεῖν τὸν ἄρχοντα μανθάνειν καὶ τὸν ἀρχόμενον, τὸν δὲ πολίτην ἀμφότερ' ἐπίστασθαι καὶ μετέχειν ἀμφοῖν, . . . .* [d] *κἀντεῦθεν ἂν κατίδοι τις· ἔστι γὰρ ἀρχὴ δεσποτική· ταύτην δὲ τὴν* 8

---

[a] *δοκεῖ που* Jackson : *δοκίμου* χ'/φα
[b] *ποτὲ δοκεῖ* ἐκπεσόν : *ἀποδέχεσθαι δεῖ* Susemihl
[c] *ἄμφω ἕτερα* Bernays : *ἕτερα* Κοραῆς
αἰτίαν; Ὄχι βεβαίως ἕνεκεν τοῦ ὅτι δὲν κοινωνοῦν κατοικοῦντες πλησίον· διότι καὶ ἐὰν ἀκόμη συνήρχοντο εἰς τοιαύτην ἐκ τοῦ σύνεγγυς κοινωνίαν, ἕκαστος ὅμως μετεχειρίζετο τὸν ἴδιον οἶκον ὡς πόλιν [1], καὶ ἐβοήθουν ἀλλήλους κατὰ τῶν ἀδικούντων μόνον, ὡς ἐὰν ὑπῆρχε παρ' αὐτοῖς εἶδός τι ἐπιμαχίας, οὐδ' εἰς αὐτὴν τὴν περίπτωσιν οἱ ἐπακριβῶς ἐρευνῶντες ἤθελον συνάγει τὸ συμπέρασμα ὅ,τι πρόκειται πόλις, ἐὰν κατὰ τὸν τρόπον αὐτὸν ἐκοινώνουν εἴτε ἐπὶ τὸ αὐτὸ συνελθόντες εἴτε μακρὰν ἀλλήλων κατοικοῦντες [2]. Φανερὸν λοιπὸν ὅτι ἡ πόλις δὲν εἶναι τόπου κοινωνία καὶ δὲν συνεστήθη χάριν τοῦ μὴ ἀδικεῖν ἀλλήλους καὶ χάριν τῆς ἀμοιβαίας ἐξυπηρετήσεως· ἀλλὰ ταῦτα μὲν ἐπὶ ὑπάρξεως πόλεως εἶναι ἀπαραίτητον νὰ ὑπάρχουν ὡς ἀναγκαῖα συστατικὰ στοιχεῖα τῆς πόλεως, ἀλλ' ὅμως, οὐδ' εἰς τὴν περίπτωσιν καθ' ἣν ἅπαντα ταῦτα ὑπάρχουν,. ὑπάρχει ἀκόμη πόλις· διότι πόλις εἶναι ἡ τῶν οἴκων καὶ τῶν γενῶν κοινωνία τοῦ εὐδαιμόνως ζῆν ἕνεκεν, ἀντικείμενον δὲ αὐτῆς εἶναι ὁ πλήρης καὶ αὐτάρκης βίος. Τοῦτο ὅμως δὲν εἶναι δυνατὸν 14
νὰ ἐπιτευχθῇ ἐὰν οἱ πολῖται δὲν κατοικοῦν ἕνα καὶ τὸν αὐτὸν τόπον καὶ δὲν συνάπτουν μεταξύ των ἐπιγαμίας· διὸ καὶ κηδεστεῖαι καθιερώθησαν ἀνὰ τὰς πόλεις καὶ κατὰ φατρίας ἑνώσεις καὶ κοιναὶ θυσίαι καὶ τρόποι εὐχαρίστου συμβιώσεως. Τὸ τοιοῦτον ὅμως εἶναι ἔργον φιλίας, διότι φιλία εἶναι ἡ προαίρεσις τῆς συμβιώσεως. Τελικὸς λοιπὸν σκοπὸς

1281a *τοῦ τέλους χάριν. Πόλις δὲ ἡ γενῶν καὶ κωμῶν κοινωνία ζωῆς τελείας καὶ αὐτάρκους,*[a] *τοῦτο δ' ἐστίν, ὡς φαμέν, τὸ ζῆν εὐδαιμόνως καὶ καλῶς· τῶν καλῶν ἄρα πράξεων*[b] *χάριν θετέον εἶναι τὴν πολιτικὴν κοινωνίαν, ἀλλ' οὐ τοῦ συζῆν· διόπερ ὅσοι συμβάλλονται πλεῖστον εἰς τὴν τοιαύτην κοινωνίαν, τούτοις τῆς πόλεως μέτεστι πλεῖον ἢ τοῖς κατὰ μὲν ἐλευθερίαν καὶ γένος ἴσοις ἢ μείζοσι κατὰ δὲ τὴν πολιτικὴν ἀρετὴν ἀνίσοις, ἢ τοῖς κατὰ πλοῦτον ὑπερέχουσι κατ' ἀρετὴν δ' ὑπερεχομένοις. Ὅτι μὲν οὖν πάντες οἱ περὶ τῶν πολιτειῶν ἀμφισβητοῦντες μέρος τι τοῦ δικαίου λέγουσι, φανερὸν ἐκ τῶν εἰρημένων.*

**10.** *Ἔχει δ' ἀπορίαν τί δεῖ τὸ κύριον εἶναι τῆς πόλεως.* VI *Ἢ γάρ τοι τὸ πλῆθος, ἢ τοὺς πλουσίους, ἢ τοὺς ἐπιεικεῖς, ἢ τὸν βέλτιστον ἕνα πάντων, ἢ τύραννον. Ἀλλὰ ταῦτα πάντα ἔχειν φαίνεται δυσκολίαν. Τί γάρ; Ἂν οἱ πένητες διὰ τὸ πλείους εἶναι διανέμωνται τὰ τῶν πλουσίων, τοῦτ' οὐκ*

---

[a] *αὐτάρκους* <*χάριν*> Scaliger.
[b] *πράξεων* ἐλλείπει εἰς ΓΜP[1].

---

τὴν πόλιν εἶναι ὅλως ἐπουσιῶδες. [3]) Ἡ κώμη εἶναι ἡ πραγματικὴ ἐν τῇ πόλει, ὡς ἐν συμβιώσει ἔκφρασις τοῦ γένους. Βλ. ὅσα περὶ τῆς ἀναπτύξεως τοῦ ἀθροίσματος τῶν κωμῶν εἰς τὴν πόλιν, ἐλέχθησαν καὶ ἐσχολιάσθησαν ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ πρώτου βιβλίου. [4]) Ὑπὸ τὴν ἔννοιαν τοῦ «δέον νὰ μετέχουν». Τοῦτο εἶναι τὸ συμπέρασμα εἰς ὃ καταλήγει ὁ Ἀριστοτέλης ἐν τῇ ἐρεύνῃ τοῦ «τίνες μετέχουν» (= δέον νὰ μετέχουν) τὸ πλεῖον τῆς πόλεως, ὅπερ τίθεται καὶ ὡς τὸ ἀπόλυτον ἐν προκειμένῳ δίκαιον, ἐν ἀντιθέσει πρὸς τοὺς ἐπὶ τῇ βάσει ὡρισμένου προσόντος (πλούτου, εὐγενείας, δυνάμεως), ἀξιοῦντας τὸ πλεῖον τοῦ μετέχειν τῆς πόλεως.

Κεφ. VI §§ 1-3 περὶ τοῦ ἀτόπου τῆς κυριαρχίας τοῦ πλήθους, τοῦ τυράννου τῶν ὀλίγων, τῶν ἐγκρίτων τοῦ ἑνὸς ἀρίστου — γενικῶς· § 4 περὶ τῶν πλεονεκτημάτων τῆς ἀρχῆς τῶν πολλῶν ὡς σύνολον διασκεπτομένων· § 5 τοῦ αὐτοῦ συνέχεια· § 6 περὶ τοῦ ὁποίαν ἐξουσίαν δέον τὸ πλῆ-

τῆς πόλεως εἶναι τὸ εὐδαιμόνως ζῆν, ταῦτα δὲ ὑφίστανται πάντα χάριν τοῦ τελικοῦ τούτου σκοποῦ. Πόλις δὲ εἶναι ἡ τῶν γενῶν καὶ κωμῶν [3] κοινωνία, πρὸς ἐπίτευξιν πλήρους καὶ αὐτάρκους βίου, τοῦτο δὲ εἶναι, ὡς εἴπομεν, τὸ εὐδαιμόνως καὶ ἀξιοπρεπῶς ζῆν· ὀφείλομεν λοιπὸν νὰ δεχθῶμεν ὅτι, σκοπὸς τῆς πολιτικῆς κοινωνίας δὲν εἶναι αὐτὸ καθ' ἑαυτὸ τὸ συζῆν, ἀλλ' αἱ κατ' ἀρετὴν ἐνέργειαι τῶν πολιτῶν· διὸ ἀκριβῶς ὅσοι συμβάλλουν τὸ πλεῖστον εἰς τὴν τοιαύτην κοινωνίαν, αὐτοὶ μετέχουν [4] τῆς πόλεως περισσότερον ἢ οἱ κατὰ μὲν τὴν ἐλευθερίαν καὶ τὸ γένος ἴσοι ἢ μείζονες κατὰ δὲ τὴν πολιτικὴν ἀρετὴν ἄνισοι ἢ οἱ κατὰ μὲν τὸν πλοῦτον ὑπερέχοντες κατὰ δὲ τὴν ἀρετὴν ταύτην ὑπερεχόμενοι. Φανερὸν λοιπὸν ἐκ τῶν εἰρημένων καθίσταται ὅτι ὅλοι ὅσοι συζητοῦν ἀντιγνωμοῦντες ἐπὶ τῶν διαφόρων τύπων τοῦ πολιτεύματος διεκδικοῦν μόνον μέρος τι τοῦ δικαίου.

**10** ΚΕΦ. VI [1]. Τίθεται δὲ ἤδη τὸ ζήτημα τίνες πρέ- 1
πει νὰ κατέχουν τὴν κυρίαρχον τῆς πόλεως ἐξουσίαν· οὗτοι δὲ δυνατὸν νὰ εἶναι ἢ ὁ λαὸς [2] ἢ οἱ πλούσιοι [3], ἢ οἱ ἔγκριτοι [4] ἢ εἷς ὁ πάντων βέλτιστος [5], ἢ τύραννος. Ἀλλὰ πάντα ταῦτα συνεπάγονται ὡρισμένας καὶ οὐχὶ ὁμαλὰς συνεπείας. Ἐπὶ παραδείγματι, ἐὰν οἱ πένητες, διὰ τὸν λόγον ὅτι εἶναι πλείονες, διανέμωνται τὰ ὑπάρχοντα τῶν

---

θος νὰ ἔχῃ· § 7 ἀναφορὰ τούτου εἰς τὴν πολιτικὴν πρᾶξιν· § 8-9 ἀντιρρήσεις ἐπὶ τῆς ἀνωτέρω θέσεως· § 10 ἀνασκευή· § 11 ἀναφορὰ εἰς τὴν πολιτικὴν πρᾶξιν· § 12 ἐφαρμογὴ ἐπὶ τῆς ἐκκλησίας, τῆς βουλῆς, τῶν δικαστηρίων, ὡς σωμάτων θεωρουμένων· § 13 θέσις ἐπὶ τῆς ἀρχῆς τῶν νόμων καὶ τοῦ χαρακτῆρος αὐτῶν.

[1]) ΠΕΡΙ ΤΟΥ ΠΟΙΟΙ ΠΡΕΠΕΙ ΝΑ ΚΑΤΕΧΟΥΝ ΤΗΝ ΚΥΡΙΑΡΧΟΝ ΕΞΟΥΣΙΑΝ. [2]) δημοκρατία· [3]) ὀλιγαρχία· [4]) ἀριστοκρατία· ἀλλὰ βλ. ἐν εἰσαγωγῇ IV[4]. [5]) Δὲν ὑπάρχει ἐν τῇ πραγματικότητι πολίτευμα τοιούτου χαρακτῆρος, ἐκτὸς ἐὰν ἀναμνησθῇ τις τῆς *αἰσυμνητείας*, ἥτις ὅμως ὑπαγομένη εἰς τὰ μοναρχικὰ πολιτεύ-

*ἄδικόν ἐστιν; Ἔδοξε γὰρ νὴ Δία τῷ κυρίῳ δικαίως. Τὴν οὖν ἀδικίαν τί χρὴ[a] λέγειν τὴν ἐσχάτην; Πάλιν τε, πάντων ληφθέντων, οἱ πλείους τὰ τῶν ἐλαττόνων ἂν διανέμωνται, φανερὸν ὅτι φθείρουσι τὴν πόλιν. Ἀλλὰ μὴν οὐχ ἥ γ' ἀρετὴ φθείρει τὸ ἔχον αὐτήν, οὐδὲ τὸ δίκαιον πόλεως φθαρτικόν, ὥστε δῆλον ὅτι καὶ τὸν νόμον τοῦτον οὐχ οἷόν τ' εἶναι δίκαιον. Ἔτι καὶ τὰς πράξεις ὅσας ὁ τύραννος ἔπραξεν* 2
*ἀναγκαῖον εἶναι πάσας δικαίας, βιάζεται γὰρ ὢν κρείττων, ὥσπερ καὶ τὸ πλῆθος τοὺς πλουσίους. Ἀλλ' ἆρα τοὺς ἐλάττους δίκαιον ἄρχειν καὶ τοὺς πλουσίους; Ἂν οὖν κἀκεῖνοι ταὐτὰ ποιῶσι καὶ διαρπάζωσι καὶ τὰ κτήματα ἀφαιρῶνται τοῦ πλήθους, τοῦτ' ἐστὶ δίκαιον; Καὶ θάτερον ἄρα. Ταῦτα μὲν τοίνυν ὅτι πάντα φαῦλα καὶ οὐ δίκαια[b] φανερόν. Ἀλλὰ* 3
*τοὺς ἐπιεικεῖς ἄρχειν δεῖ καὶ κυρίους εἶναι πάντων; Οὐκοῦν ἀνάγκη τοὺς ἄλλους ἀτίμους εἶναι πάντας, μὴ τιμωμένους ταῖς πολιτικαῖς ἀρχαῖς· τιμὰς γὰρ λέγομεν εἶναι τὰς ἀρχάς, ἀρχόντων δ' αἰεὶ τῶν αὐτῶν ἀναγκαῖον εἶναι τοὺς ἄλλους ἀτίμους. Ἀλλ' ἕνα τὸν σπουδαιότατον ἄρχειν βέλτιον; Ἀλλ' ἔτι τοῦτο ὀλιγαρχικώτερον, οἱ γὰρ ἄτιμοι πλείους. Ἀλλ' ἴσως φαίη τις ἂν τὸ κύριον ὅλως ἄνθρωπον εἶναι ἀλλὰ μὴ νόμον φαῦλον, ἔχοντά γε τὰ συμβαίνοντα πάθη περὶ τὴν*

---

[a] *δεῖ* MP[1]

[b] *δίκαια: σπουδαῖα* Π[1]

---

ματα ἐν ἄλλῳ τόπῳ καὶ τύπῳ δέον νὰ ἐξετάζηται. Ὁ Ἀριστοτέλης λαμβάνει τὸν τύπον τοῦ πολιτεύματος τοῦ χαρακτηριζομένου ὑπὸ τῆς ἀρχῆς τοῦ ἑνὸς ἀρίστου ὡς ἐνδεχόμενον. [6]) Κατὰ τὰς ἀντιλήψεις τῶν Ἑλλήνων οὐ μόνον ἄδικον ἦτο τοῦτο, ὡς προσβάλλον τὴν ἰδιοκτησίαν, ἀλλὰ καὶ ἀνόσιον ὡς ἀναστάτους ποιοῦν τοὺς πατρίους τῆς οἰκογενείας θεούς, λόγῳ τοῦ ὅτι ἐν τῷ κτήματι ἑκάστης οἰκογενείας, ὅπερ πολλάκις ἐξήρπαζε δι' ἀναδασμοῦ ὁ δῆμος, ἐφέρετο τεθαμμένος ὁ γενάρχης, ὅστις καὶ πρῶτος κατέλαβε τὸ ἀδέσποτον κτῆμα. Οἱ ἀναδασμοὶ τῆς γῆς ἅμα τῇ ἐπικρα-

πλουσίων, δὲν εἶναι ἄδικον τοῦτο;[6]. Διόλου, μὰ τὸν Δία, θὰ ἀπήντα τις, διότι κατὰ τὸ κρατοῦν δίκαιον[7] ἀπεφάσισεν ἡ κυρίαρχος τῆς πόλεως ἐξουσία. Ἐξ ἄλλου, μετὰ τὴν δήμευσιν πάντων, τὸ νὰ διανείμουν οἱ πλείονες τὰ τῶν ὀλιγωτέρων, εἶναι φανερὸν ὅτι πρόκειται περὶ ἔργου φθείροντος τὴν πόλιν[8]· ἀλλ' ὅμως ἡ ἀρετὴ βεβαίως δὲν φθείρει τὸ ἔχον αὐτήν, οὐδὲ τὸ δίκαιον εἶναι στοιχεῖον φθαρτικὸν τῆς πόλεως, ὥστε φανερὸν εἶναι ὅτι ὁ νόμος οὗτος δὲν εἶναι δυνατὸν νὰ εἶναι δίκαιος. Ἐπὶ πλέον καὶ αἱ πράξεις ὅσας ὁ τύραν- 2
νος ἔπραξε, κατ' ἀνάγκην ἅπασαι εἶναι δίκαιαι, διότι ἰσχυρότερος ὢν ἐπιβάλλει τὴν βίαν, ὡς ἀκριβῶς καὶ τὸ πλῆθος ἐπὶ τῶν πλουσίων. Ἀλλ' ἀφ' ἑτέρου εἶναι ἄραγε δίκαιον νὰ ἄρχουν οἱ ὀλίγοι καὶ οἱ πλούσιοι; Ἂν λοιπὸν ἐκεῖνοι τὰ αὐτὰ πράττουν καὶ διαρπάζουν καὶ ἀφαιροῦν τὰ κτήματα τοῦ πλήθους, εἶναι τοῦτο δίκαιον; Ἄρα οὔτε τὸ ἓν οὔτε τὸ ἄλλο εἶναι δίκαιον. Καὶ ταῦτα λοιπόν, ὅτι πάντα φαῦλα καὶ οὐχὶ δίκαια εἶναι, φανερόν. Ἀλλὰ πρέπει νὰ ἄρχουν οἱ 3
ἔγκριτοι καὶ αὐτοὶ νὰ εἶναι κύριοι πάντων; Ἀλλ' εἰς τὴν περίπτωσιν αὐτὴν κατ' ἀνάγκην πάντες οἱ ἄλλοι θὰ εἶναι ἐστερημένοι τιμῆς, μὴ τιμώμενοι διὰ τῶν πολιτικῶν ἀξιωμάτων· διότι τιμὰς[9] λέγομεν ὅτι εἶναι τὰ ἀξιώματα, ὅταν δὲ ἄρχουν πάντοτε οἱ αὐτοὶ κατ' ἀνάγκην οἱ ἄλλοι εἶναι ἐστερημένοι τιμῆς. Εἶναι λοιπὸν καλύτερον νὰ ἄρχῃ εἷς, ὁ σπουδαιότατος; Ἀλλὰ τοῦτο εἶναι ἔτι ὀλιγαρχικώτερον, διότι περισσότεροι εἶναι ἐνταῦθα οἱ ἐστερημένοι τιμῆς. Ἀλλ' ἴσως θὰ προσέθετέ τις ὅτι δὲν εἶναι ὀρθὸν εἷς ἄνθρωπος ἔχων τὰ συνήθως συμβαίνοντα περὶ τὴν ψυχὴν πάθη

---

τήσει τοῦ λαϊκοῦ στοιχείου ἦτο κάτι τὸ σύνηθες εἰς τὰς ἀρχαίας πόλεις. [7]) Τουτέστι κατὰ τὸ δίκαιον ὅπερ ἐξεπροσώπει ἡ λαϊκὴ κυριαρχία καὶ ὅπερ αὐτομάτως ἐτίθετο ἐν ἰσχύϊ ἅμα τῇ καταστάσει τοῦ λαοῦ ὡς κυριάρχου. [8]) Διότι ἐνῷ οἱ πλούσιοι καθίσταντο οὕτω πένητες οὐδεὶς ἐκ τῶν πενήτων καθίστατο πλούσιος. [9]) Πράγματι οὕτω καλοῦνται ὑπὸ τῶν Ἑλλήνων τὰ διάφορα ἀξιώ-

*ψυχήν. Ἂν οὖν ᾖ νόμος μὲν ὀλιγαρχικὸς δὲ ἢ δημοκρατικός, τί διοίσει περὶ τῶν ἠπορημένων; Συμβήσεται γὰρ ὁμοίως τὰ λεχθέντα πρότερον.*

**11**. *Περὶ μὲν οὖν τῶν ἄλλων ἔστω τις ἕτερος λόγος· ὅτι δὲ δεῖ κύριον εἶναι μᾶλλον τὸ πλῆθος ἢ τοὺς ἀρίστους μὲν* 4
*ὀλίγους δέ, δόξειεν ἂν λύεσθαι καί τιν' ἔχειν ἀπολογίαν*[a],
1281b *τάχα δὲ κἂν ἀλήθειαν. Τοὺς γὰρ πολλούς, ὧν ἕκαστός ἐστιν οὐ σπουδαῖος ἀνήρ, ὅμως ἐνδέχεται συνελθόντας εἶναι βελτίους ἐκείνων οὐχ ὡς ἕκαστον ἀλλ' ὡς σύμπαντας, οἷον τὰ συμφορητὰ δεῖπνα τῶν ἐκ μιᾶς δαπάνης χορηγηθέντων· πολλῶν γὰρ ὄντων ἕκαστον μόριον ἔχειν ἀρετῆς καὶ φρονήσεως, καὶ γίνεσθαι συνελθόντας ὥσπερ ἕνα ἄνθρωπον τὸ πλῆθος πολύποδα καὶ πολύχειρα καὶ πολλὰς ἔχοντ' αἰσθήσεις, οὕτω καὶ περὶ τὰ ἤθη καὶ τὴν διάνοιαν. Διὸ καὶ κρίνουσιν ἄμεινον οἱ πολλοὶ καὶ τὰ τῆς μουσικῆς ἔργα καὶ τὰ τῶν ποιητῶν· ἄλλοι γὰρ ἄλλο τι μόριον, πάντα δὲ πάντες. Ἀλλὰ τούτῳ διαφέρουσιν οἱ σπουδαῖοι τῶν ἀνδρῶν* 5,
*ἑκάστου*[b] *τῶν πολλῶν, ὥσπερ καὶ τῶν μὴ καλῶν τοὺς καλούς φασι καὶ τὰ γεγραμμένα διὰ τέχνης τῶν ἀληθινῶν, τῷ συνῆχθαι τὰ διεσπαρμένα χωρὶς εἰς ἕν, ἐπεὶ κεχωρισμένων γε κάλλιον ἔχειν τοῦ γεγραμμένου τουδὶ μὲν τὸν ὀφθαλμὸν ἑτέρου δέ τινος ἕτερον μόριον. Εἰ μὲν οὖν περὶ πάντα δῆμον καὶ περὶ πᾶν πλῆθος ἐνδέχεται ταύτην εἶναι τὴν διαφορὰν τῶν πολλῶν πρὸς τοὺς ὀλίγους σπουδαίους, ἄδηλον, ἴσως δὲ νὴ Δία δῆλον ὅτι περὶ ἐνίων ἀδύνατον—ὁ γὰρ αὐ-*

---

[a] *ἀπολογίαν* Wilamowitz: *ἀπορίαν* χ'/φα

[b] *ἕκαστοι* Thurot

---

ματα. [10]) Βλέπε αὐτόθι § 13. [11]) Τῶν ἐγκρίτων τουτέστι. [12]) 'Δῆμος' ὡς γνωστὸν εἶναι ὁ λαὸς τῆς πόλεως ὁ μετέχων τῶν δημοσίων λειτουργημάτων, ἤτοι ὁ ἄρρην πληθυσμὸς τῶν ἐλευθέ-

νὰ εἶναι ἀπόλυτος κύριος καὶ ὄχι ὁ νόμος[10]. Ἀλλ' ἐὰν ὁ
νόμος εἶναι ὀλιγαρχικὸς ἢ δημοκρατικός, κατὰ τί θὰ διευ-
κολύνῃ τὴν λύσιν τῶν ἀποριῶν μας; Διότι ὅμοια πρὸς τὰ
ἀνωτέρω ἀναφερθέντα θὰ συμβοῦν καὶ ἐνταῦθα.

**11.** Καὶ περὶ μὲν τῶν ἄλλων ἀποριῶν θὰ ὁμιλήσωμεν
ἀλλαχοῦ· τὸ ὅτι δὲ πρέπει τὴν κυρίαρχον ἐξουσίαν νὰ κα- 4
τέχῃ μᾶλλον τὸ πλῆθος ἢ οἱ ἄριστοι μὲν ὀλίγοι δέ, θὰ ἐφαί-
νετο ὅτι εὐκόλως δύναται νὰ λυθῇ, ὡς ἐνέχον λογικὴν συν-
έπειαν ἴσως δὲ καὶ ἀλήθειάν τινα. Διότι οἱ πολλοί, ἕκαστος
τῶν ὁποίων δὲν εἶναι σπουδαῖος ἀνήρ, ἐνδέχεται ἐπὶ τὸ
αὐτὸ συνελθόντες νὰ εἶναι καλύτεροι ἐκείνων[11], οὐχὶ βε-
βαίως ἕκαστος, μεμονωμένως, ἀλλ' ὡς σύνολον, ὅπως τὰ ἐκ
συμβολῶν συμπόσια καλύτερα εἶναι τῶν διὰ τῆς δαπάνης
ἑνὸς μόνον παρασκευασθέντων. Ἕκαστος ἐκ τῶν πολλῶν
ἔχει μόριόν τι ἀρετῆς καὶ φρονήσεως, ἐπὶ τῆς συνελεύσεως
ὅμως τῶν πολλῶν ὡς ἀκριβῶς τὸ πλῆθος ἀπαρτίζει ἕνα,
οὕτως εἰπεῖν, ἄνθρωπον πολύποδα καὶ πολύχειρα καὶ πολλὰς
ἔχοντα αἰσθήσεις, οὕτω καὶ περὶ τὰ ἤθη τούτων καὶ τὴν
διάνοιαν συμβαίνει. Διὰ τοῦτο καὶ καλύτερον οἱ πολλοὶ
κρίνουν τὰ τῆς μουσικῆς καὶ τῶν ποιητῶν ἔργα· διότι ἄλλοι
ἄλλο μόριον καθ' ἕκαστον ἀντιλήψεως πρὸς κρίσιν ἔχουν,
συνεπῶς δὲ πάντα οἱ πάντες ἐν συνόλῳ. Ἀλλ' οἱ σπουδαῖοι 5
τῶν ἀνδρῶν κατὰ τοῦτο διαφέρουν ἑκάστου τῶν πολλῶν,
καθ' ὅ,τι ἀκριβῶς λέγεται ὅτι διαφέρουν οἱ ὡραῖοι τῶν μὴ
ὡραίων καὶ αἱ καλλιτεχνικαὶ εἰκόνες τῶν ἀληθινῶν ἀν-
θρώπων, κατὰ τοῦτο δηλαδή, ὅτι φέρουν συγκεντρωμένα
τοὺς διεσπαρμένους καὶ κεχωρισμένους ὡραίους χαρακτῆρας·
ἐν τούτοις ὅμως, ἐὰν ἐπὶ μέρους ἐξετασθῇ τὸ καλλιτεχνικὸν
ἀπείκασμα, ἐνδέχεται νὰ εὑρεθῇ χαρακτὴρ ἐπὶ τοῦ πρα-
γματικοῦ, οἷον τούτου ὁ ὀφθαλμὸς ἄλλου δὲ ἄλλο μόριον,
ὡραιότερος τοῦ ἐν τῇ εἰκόνι. Ἤδη λοιπόν, ἐὰν μὲν ἐνδέ-
χεται νὰ ὑπάρχῃ ἐπὶ παντὸς «δήμου»[12] καὶ ἐπὶ παντὸς πλή-
θους ἡ τοιαύτη διαφορὰ τῶν πολλῶν πρὸς τοὺς ὀλίγους
σπουδαίους, ἄδηλον εἶναι, ἴσως δέ, μὰ τὸν Δία, προκειμένου

τὸς κἂν ἐπὶ τῶν θηρίων ἁρμόσειε λόγος, καίτοι[a] τί διαφέρουσιν ἔνιοι τῶν θηρίων ὡς ἔπος εἰπεῖν;—Ἀλλὰ περί τι
πλῆθος οὐδὲν εἶναι κωλύει τὸ λεχθὲν ἀληθές. Διὸ καὶ τὴν 6
πρότερον εἰρημένην ἀπορίαν λύσειεν ἄν τις διὰ τούτων καὶ τὴν ἐχομένην αὐτῆς, τίνων δεῖ κυρίους εἶναι τοὺς ἐλευθέρους καὶ τὸ πλῆθος τῶν πολιτῶν (τοιοῦτοι δ' εἰσὶν ὅσοι μήτε πλούσιοι μήτε ἀξίωμα ἔχουσιν ἀρετῆς μηδέν). Τὸ μὲν γὰρ μετέχειν αὐτοὺς τῶν ἀρχῶν τῶν μεγίστων οὐκ ἀσφαλές (διά τε γὰρ ἀδικίαν καὶ δι' ἀφροσύνην τὰ μὲν ἀδικεῖν ἀνάγκη[b] τὰ δ' ἁμαρτάνειν αὐτούς), τὸ δὲ μὴ μεταδιδόναι μηδὲ μετέχειν φοβερόν· ὅταν γὰρ ἄτιμοι πολλοὶ καὶ πένητες ὑπάρχωσι, πολεμίων ἀναγκαῖον εἶναι πλήρη τὴν πόλιν ταύτην. Λείπεται δὴ τοῦ βουλεύεσθαι καὶ κρίνειν μετέχειν
αὐτούς. Διόπερ καὶ Σόλων καὶ τῶν ἄλλων τινὲς νομοθετῶν 7
τάττουσιν ἐπί τε[c] τὰς ἀρχαιρεσίας καὶ τὰς εὐθύνας τῶν ἀρχόντων, ἄρχειν δὲ κατὰ μόνας οὐκ ἐῶσιν. Πάντες μὲν γὰρ ἔχουσι συνελθόντες ἱκανὴν αἴσθησιν, καὶ μιγνύμενοι τοῖς βελτίοσι τὰς πόλεις ὠφελοῦσιν, καθάπερ ἡ μὴ καθαρὰ τροφὴ μετὰ τῆς καθαρᾶς τὴν πᾶσαν ποιεῖ χρησιμωτέραν τῆς ὀλίγης· χωρὶς δ' ἕκαστος ἀτελὴς περὶ τὸ κρίνειν ἐστίν.
Ἔχει δ' ἡ τάξις αὕτη τῆς πολιτείας ἀπορίαν πρώτην μὲν 8

---

[a] καίτοι : καὶ Wilamowitz
[b] ἀνάγκη Rassow : ἂν χ'/φα
[c] ἐπί τε <ταῦτα αὐτοὺς καὶ ἐπὶ> Wilamowitz

---

ρων ἀφ' ὡρισμένης ἡλικίας. 13) Τουτέστιν ἐπὶ συγκεκριμένης περιπτώσεως, ἐπὶ λαοῦ συγκεκριμένης πόλεως. 14) Πρόκειται περὶ ταυτολογίας ἵνα εἰσαχθῇ καὶ πάλιν τὸ 'πλῆθος'. 15) Ἐν πόλει δημοκρατουμένῃ καὶ οἱ ἐνταῦθα ἀναφερόμενοι καὶ ἐπιμελῶς τοῦ λοιποῦ πλήθους διακρινόμενοι, δὲν ἀποτελοῦν ἰδίαν κατηγορίαν, ἰδίαν τάξιν, ἀλλ' ἐφ' ὅσον μετέχουν ὡς καὶ οἱ λοιποὶ τῶν δημοσίων λειτουργημάτων ἀποτελοῦν μέλη τοῦ δήμου· διακρίνονται ὅμως ἐνταῦθα πρὸς χρῆσιν τῆς ἀκριβοῦς ἐννοίας τοῦ

περί τινων καὶ ἀδύνατον εἶναι — διότι τὸ αὐτὸ θὰ ἠδύνατο τότε καὶ ἐπὶ τῶν ζώων νὰ λεχθῇ· καὶ πράγματι, διὰ νὰ ὁμιλήσω γενικῶς, κατὰ τί διαφέρουν μερικοὶ τῶν θηρίων; — ἀλλ' οὐδὲν κωλύει νὰ ἀληθεύῃ τὸ λεχθὲν προκειμένου περὶ ὡρισμένου πλήθους [13]. Διὸ ὄχι μόνον τὴν προειρημένην ἀπο- 6
ρίαν δύναταί τις νὰ ἐπιλύσῃ διὰ τούτων, ἀλλὰ καὶ τὴν ἀμέσως μετ' αὐτῆς συναπτομένην, ποῖα τουτέστι τῶν κυριαρχικῶν δικαιωμάτων δέον νὰ ἔχουν οἱ ἐλεύθεροι καὶ τὸ πλῆθος τῶν πολιτῶν [14] — (τοιοῦτοι δὲ εἶναι ὅσοι, μήτε πλούσιοι μήτε ἀξίωμά τι κατὰ κληρονομικὴν εὐγένειαν, ἢ κατ' ἄλλο προτέρημα ἔχουν)—[15]. Οὕτω, τὸ νὰ μετέχουν αὐτοὶ τῶν μεγίστων ἀρχῶν δὲν παρέχει ἀσφάλειαν· διότι ἐπιρρεπεῖς ὄντες εἰς τὴν ἀδικίαν καὶ τὰς παραλόγους πράξεις κατ' ἀνάγκην αὐτοὶ εἰς τὰ μὲν θὰ ἀδικοῦν, εἰς τὰ δὲ θὰ παρεκτρέπωνται· ἀλλ' ἀφ' ἑτέρου ἐπίφοβον εἶναι νὰ μὴ παραχωρῆται εἰς αὐτοὺς τὸ δικαίωμα νὰ μετέχουν τῆς ἐξουσίας· διότι ὅταν οἱ πολλοὶ εἶναι ἐστερημένοι πολιτικῆς τιμῆς [16] καὶ πένητες, κατ' ἀνάγκην ἡ πόλις αὕτη εἶναι πλήρης πολεμίων: Ὑπολείπεται λοιπὸν ὅτι πρέπει νὰ μετέχουν οὗτοι τοῦ βουλεύεσθαι καὶ κρίνειν. Διὰ τοῦτο δὲ ἀκριβῶς καὶ ὁ 7
Σόλων καί τινες τῶν ἄλλων νομοθετῶν παρέχουν μὲν εἰς τὸν λαὸν τὸ δικαίωμα συμμετοχῆς εἰς τὰς ἀρχαιρεσίας καὶ εἰς τὸν ἔλεγχον τῶν ἀρχόντων, δὲν ἐπιτρέπουν ὅμως τὴν κατὰ μόνας ἄσκησιν οὐδεμιᾶς ἀρχῆς εἴς τινα τοῦ πλήθους. Διότι οἱ πολλοί, ὡς σύνολον, ἔχουν ἐπὶ τὸ αὐτὸ συνερχόμενοι ἱκανὴν αἴσθησιν καὶ ἀναμιγνυόμενοι μὲ τοὺς καλυτέρους, ὠφελιμώτεροι γίνονται εἰς τὰς πόλεις, ὡς ἀκριβῶς καὶ ἡ μὴ καθαρὰ τροφὴ ἀναμιγνυομένη μετὰ τῆς καθαρᾶς καθιστᾷ τὸ ὅλον μῖγμα χρησιμώτερον ἢ ἡ ὀλίγη καθαρά· κεχωρισμένως ὅμως ἕκαστος ἀτελῶς κατ' ἄτομον κρίνει. Ἡ πρώτη δὲ ἀπορία τὴν ὁποίαν τὸ πολιτικὸν τοῦτο σύν- 8

---

πλήθους. [16]) Οἱ μὴ δυνάμενοι νὰ ἀναλαμβάνουν ὡς οἱ ἄλλοι δημόσια ἀξιώματα. κυρίως οἱ ἐστερημένοι πολιτικῶν δικαιωμά-

ὅτι δόξειεν ἂν τοῦ αὐτοῦ εἶναι τὸ κρῖναι τίς ὀρθῶς ἰάτρευ-
κεν οὗπερ καὶ τὸ ἰατρεῦσαι καὶ ποιῆσαι ὑγιᾶ τὸν κάμνον-
1282a τα τῆς νόσου τῆς παρούσης, οὗτος δ' ἐστὶν ἰατρός· ὁμοίως
δὲ τοῦτο καὶ περὶ τὰς ἄλλας ἐμπειρίας καὶ τέχνας. Ὥσπερ
οὖν ἰατρὸν δεῖ διδόναι τὰς εὐθύνας ἐν ἰατροῖς, οὕτω καὶ
τοὺς ἄλλους ἐν τοῖς ὁμοίοις Ἰατρὸς δ' ὅ τε δημιουργὸς
καὶ ὁ ἀρχιτεκτονικὸς καὶ τρίτος ὁ πεπαιδευμένος περὶ τὴν
τέχνην (εἰσὶ γάρ τινες τοιοῦτοι καὶ [a] περὶ πάσας ὡς εἰπεῖν
τὰς τέχνας, ἀποδίδομεν δὲ τὸ κρίνειν οὐδὲν ἧττον τοῖς πε-
παιδευμένοις ἢ τοῖς εἰδόσιν). Ἔπειτα καὶ [b] περὶ τὴν αἵρε- 9
σιν τὸν αὐτὸν ἂν δόξειεν ἔχειν τρόπον· καὶ γὰρ τὸ ἑλέσθαι
ὀρθῶς τῶν εἰδότων ἔργον ἐστίν, οἷον γεωμέτρην τε τῶν
γεωμετρικῶν καὶ κυβερνήτην τῶν κυβερνητικῶν· εἰ γὰρ καὶ
περὶ ἐνίων ἔργων καὶ τεχνῶν μετέχουσι καὶ τῶν ἰδιωτῶν
τινές, ἀλλ' οὔ τι τῶν εἰδότων γε μᾶλλον. Ὥστε κατὰ μὲν
τοῦτον τὸν λόγον οὐκ ἂν εἴη τὸ πλῆθος ποιητέον κύριον
οὔτε τῶν ἀρχαιρεσιῶν οὔτε τῶν εὐθυνῶν. Ἀλλ' ἴσως οὐ 1
πάντα ταῦτα λέγεται καλῶς διά τε τὸν πάλαι λόγον, ἂν ᾖ
τὸ πλῆθος μὴ λίαν ἀνδραποδῶδες (ἔσται γὰρ ἕκαστος μὲν
χείρων κριτὴς τῶν εἰδότων, ἅπαντες δὲ συνελθόντες ἢ βελ-
τίους ἢ οὐ χείρους), καὶ ὅτι περὶ ἐνίων οὔτε μόνον [c] ὁ ποιήσας
οὔτ' ἄριστ' ἂν κρίνειεν, ὅσων τἄργα γιγνώσκουσι καὶ οἱ μὴ
ἔχοντες τὴν τέχνην, οἷον οἰκίαν οὐ μόνον ἐστὶ γνῶναι τοῦ

---

[a] καὶ πρὸ τοῦ τοιοῦτοι MP¹
[b] λείπει ἀπὸ τὰ Π¹
[c] μόνος? solus Guil.

---

των. [17]) Καθ' ὃ τουτέστι τὰς ὁμαδικὰς λειτουργίας τοῦ διασκέπτεσθαι, ἐλέγχειν καὶ δικάζειν ἀσκεῖ ὁ λαός. [18]) Ἄρα καὶ ἐπὶ τῆς πολιτικῆς. [19]) Ἔμμεσος ἀναίρεσις τοῦ ἀνωτέρω ἐπιχειρήματος, διότι ἀναγνωρίζει ὁμοίως ἔγκυρον κρίσιν καὶ εἰς τοὺς ἁπλῶς περὶ τὴν τέχνην πεπαιδευμένους, ὑποτίθεται δὲ ὅτι ὁ πολίτης δὲν εἶναι δυνατὸν νὰ μὴ εἶναι ὁπωσοῦν πεπαιδευμένος περὶ τὴν πολιτικήν. [20]) Ὅτι τουτέστι ὀρθοφρονέστερον κρί-

ταγμα [17] ἐγείρει, εἶναι ὅτι θὰ ἐβασίζετο ἐπὶ τῆς ὑποθέσεως ὅτι ὁμοίως ἀγαθὸς κριτὴς εἶναι καὶ ἐκεῖνος ὅστις θὰ ἔκρινε τίς ἰάτρευσεν ὀρθῶς καὶ ὁ ἰατρός, τοῦ ὁποίου ἔργον εἶναι νὰ ἰατρεύσῃ καὶ νὰ καταστήσῃ ὑγιᾶ τὸν καταπονούμενον ἐκ τῆς κατεχούσης αὐτὸν νόσου· τὸ αὐτὸ δὲ δύναται ἐν προκειμένῳ νὰ ἐκταθῇ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ συστημάτων γνώσεων [18]. Ἀλλ' ὅμως ὡς ὁ ἰατρὸς πρέπει νὰ δίδῃ εὐθύνας εἰς τοὺς ἰατρούς, οὕτω καὶ οἱ ἄλλοι εἰς τοὺς ὁμοίους. Ἀλλ' ἰατρὸς εἶναι καὶ ὁ ἐμπειρικῶς ἀσκῶν τὴν τέχνην ταύτην καὶ ὁ ἐπιστήμων καὶ τρίτος ὁ περὶ τὴν τέχνην ταύτην πεπαιδευμένος — (διότι ὑπάρχουν μερικοὶ τοιοῦτοι καὶ περὶ τὰς ἄλλας γενικῶς πάσας τὰς τέχνας, ἀναγνωρίζομεν δὲ τὸ δικαίωμα τοῦ κρίνειν οὐδὲν ἧττον εἰς τοὺς πεπαιδευμένους περὶ τέχνην τινὰ ἢ εἰς τοὺς ἐπιστήμονας ταύτης) [19]. Ὁμοίως, οὕτως ἔχει καὶ προκειμένου περὶ 9
τῆς ἐκλογῆς τῶν ἀρχόντων· διότι καὶ τὸ νὰ ἐκλέξῃ τις ὀρθῶς εἶναι ἔργον τῶν εἰδημόνων· οὕτω προκειμένου νὰ ἐκλεγῇ γεωμέτρης ἁρμόδιοι νὰ ἐκλέξουν τοῦτον εἶναι οἱ γεωμέτραι, προκειμένου νὰ ἐκλεγῇ κυβερνήτης πλοίου, ἁρμόδιοι εἶναι οἱ κυβερνῆται πλοίων· διότι καὶ ἐὰν περὶ ὡρισμένων ἔργων καὶ τεχνῶν ἔχουν γνῶσιν τινὰ καὶ ἰδιῶται, ὅμως ἡ γνῶσις αὕτη δὲν εἶναι ὅση ἡ τῶν εἰδικῶν. Συνεπῶς ἐπὶ τῇ βάσει τοῦ συλλογισμοῦ τούτου δὲν θὰ ἔπρεπε νὰ κατασταθῇ τὸ πλῆθος κυρίαρχον οὔτε ἐπὶ τῶν ἀρχαιρεσιῶν οὔτε ἐπὶ τοῦ ἐλέγχου τῶν ἀρχόντων. Ἀλλ' ἴσως πάντα 10
ταῦτα δὲν λέγονται ὀρθῶς, καὶ διὰ τὸν προειρημένον λόγον [20], ἐὰν τὸ πλῆθος δὲν εἶναι σύνολον ἀνδραπόδων — (θὰ εἶναι δηλαδὴ ἕκαστος μὲν ἀτομικῶς κριτὴς χείρων τῶν εἰδότων, ἅπαντες ὅμως ἐν συνόλῳ ἐπὶ τὸ αὐτὸ συνελθόντες ἢ καλύτεροι ἢ οὐχὶ χείρονες τῶν εἰδότων) —, ἀφ' ἑτέρου δὲ διότι περὶ ὡρισμένων πραγμάτων ἢ πράξεων, οὔτε μόνον ὁ κατασκευαστὴς οὔτε καὶ ἄριστα οὗτος θὰ ἔκρινεν, ἢ οἱ γνωρίζοντες τὰ ἔργα ταῦτα, ἀλλὰ μὴ κατέχοντες τὴν τέχνην· ἐπὶ παραδείγματι, προκειμένου περὶ οἰκίας ἡ γνῶσις

*ποιήσαντος, ἀλλὰ καὶ βέλτιον ὁ χρώμενος αὐτῇ κρινεῖ (χρῆ-
ται δ' ὁ οἰκονόμος), καὶ πηδάλιον κυβερνήτης τέκτονος,
καὶ θοίνην ὁ δαιτυμὼν ἀλλ' οὐχ ὁ μάγειρος. Ταύτην μὲν
οὖν τὴν ἀπορίαν τάχα δόξειέ τις ἂν οὕτω λύειν ἱκανῶς.
Ἄλλη δ' ἐστὶν ἐχομένη ταύτης· δοκεῖ γὰρ ἄτοπον εἶναι τὸ* 11
*μειζόνων εἶναι κυρίους τοὺς φαύλους τῶν ἐπιεικῶν, αἱ δ'
εὔθυναι καὶ αἱ τῶν ἀρχῶν αἱρέσεις εἰσὶ μέγιστον*[a]*, ἃς ἐν
ἐνίαις πολιτείαις, ὥσπερ εἴρηται, τοῖς δήμοις ἀποδιδόασιν,
ἡ γὰρ ἐκκλησία κυρία πάντων τῶν τοιούτων ἐστίν· καίτοι
τῆς μὲν ἐκκλησίας μετέχουσι καὶ βουλεύουσι καὶ δικάζουσιν
ἀπὸ μικρῶν τιμημάτων καὶ τῆς τυχούσης ἡλικίας, ταμιεύ-
ουσι δὲ καὶ στρατηγοῦσι καὶ τὰς μεγίστας ἀρχὰς ἄρχουσιν
ἀπὸ μεγάλων*[b]. *Ὁμοίως δή τις ἂν λύσειε καὶ ταύτην τὴν* 12
*ἀπορίαν—ἴσως γὰρ ἔχει καὶ ταῦτ' ὀρθῶς, οὐ γὰρ ὁ δικα-
στὴς οὐδ' ὁ βουλευτὴς οὐδ' ὁ ἐκκλησιαστὴς ἄρχων ἐστίν,
ἀλλὰ τὸ δικαστήριον καὶ ἡ βουλὴ καὶ ὁ δῆμος, τῶν δὲ ῥη-
θέντων ἕκαστος μόριόν ἐστι τούτων (λέγω δὲ μόριον τὸν
βουλευτὴν καὶ τὸν ἐκκλησιαστὴν καὶ τὸν δικαστήν). Ὥστε
δικαίως κύριον μειζόνων τὸ πλῆθος, ἐκ γὰρ πολλῶν ὁ δῆ-
μος καὶ ἡ βουλὴ καὶ τὸ δικαστήριον, καὶ τὸ τίμημα δὲ
πλεῖον τὸ πάντων τούτων ἢ τὸ τῶν καθ' ἕνα καὶ κατ' ὀλί-*
**1282b** *γους μεγάλας ἀρχὰς ἀρχόντων. Ταῦτα μὲν οὖν διωρίσθω* 13
*τοῦτον τὸν τρόπον· ἡ δὲ πρώτη λεχθεῖσα ἀπορία ποιεῖ φα-
νερὸν οὐδὲν οὕτως ἕτερον ὡς ὅτι δεῖ τοὺς νόμους εἶναι κυ-
ρίους κειμένους ὀρθῶς, τὸν ἄρχοντα δέ, ἄν τε εἷς ἄν τε*

---

[a] *μέγιστα*, Γ *μέγιστοι*, M *μέγισται* P[1]
[b] (*ἀπὸ μειζόνων* Π[1]) *ἔχουσιν ἀπὸ μεγάλων* Π[2]

---

νουν οἱ πλείονες, ὡς σύνολον, τῶν ὀλίγων. [21]) Ἀναφορὰ πρὸς τὸ λεχθὲν ἀνωτέρω ὅτι οἱ περισσότερον συντελοῦντες εἰς τὸν σκοπὸν τῆς πόλεως περισσότερα δέον νὰ ἔχουν πολιτικὰ δικαιώματα. [22]) Τουτέστι τίνες πρέπει νὰ ἀσκοῦν τὴν κυρίαρχον ἐξουσίαν.

αὐτῆς δὲν ἀνήκει μόνον εἰς τὸν κατασκευάσαντα, ἀλλὰ καὶ καλύτερον περὶ αὐτῆς θὰ κρίνῃ ὁ χρησιμοποιῶν ταύτην, (χρησιμοποιεῖ δὲ ταύτην ὁ οἰκονόμος), καὶ καλύτερον γνωρίζει τὸ πηδάλιον ὁ κυβερνήτης τοῦ πλοίου ἢ ὁ κατασκευάζων τοῦτο τέκτων, καὶ τὸ συμπόσιον ὁ δαιτυμὼν καὶ οὐχὶ ὁ μάγειρος. Καὶ αὕτη μὲν ἡ ἀπορία δύναταί τις νὰ συμπεράνῃ ὅτι οὕτω λύεται ἱκανοποιητικῶς. Ὑπάρχει ὅμως ἄλλη 11
συνακολουθοῦσα ταύτην· φαίνεται δηλονότι ἄτοπον νὰ εἶναι ἐπὶ τῶν μειζόνων κυρίαρχοι οἱ κατωτέρας ποιότητος πολῖται ἢ οἱ ἔγκριτοι, ὁ δὲ ἔλεγχος καὶ ἡ ἐκλογὴ τῶν ἀρχόντων εἶναι τὰ σπουδαιότατα, ταῦτα δὲ εἰς ὡρισμένας, ὡς ἐλέχθη, πολιτείας ἀνατίθενται εἰς τὸν λαόν, διότι πάντων τούτων κυρίαρχος εἶναι ἡ ἐκκλησία τοῦ δήμου· καὶ μολοντοῦτο τῆς μὲν ἐκκλησίας τοῦ δήμου μετέχουν καὶ διασκέπτονται περὶ τῶν κοινῶν καὶ δικάζουν ἀπὸ τῶν κατωτάτων τιμημάτων καὶ τῆς τυχούσης ἡλικίας πολῖται, ταμίαι ὅμως καὶ στρατηγοὶ καὶ τῶν λοιπῶν ἀνωτάτων ἀξιωμάτων λειτουργοὶ καθίστανται μόνον οἱ τῶν μεγάλων τιμημάτων πολῖται. Ἀλλὰ καθ' ὅμοιον τρόπον θὰ ἠδύνατό τις νὰ ἐπι- 12
λύσῃ καὶ ταύτην τὴν ἀπορίαν — διότι καὶ ὁ θεσμὸς οὗτος ἔχει ἴσως ὀρθῶς· διότι οὔτε ὁ δικαστής, οὔτε ὁ βουλευτής, οὔτε τὸ μέλος τῆς ἐκκλησίας τοῦ δήμου εἶναι ἄρχων, ἀλλὰ τὸ δικαστήριον καὶ ἡ βουλὴ καὶ ὁ δῆμος, ἕκαστος δὲ τῶν ἀπαρτιζόντων ἁπλοῦν μόριον εἶναι, λέγω δὲ μόριον τὸν βουλευτήν, τὸ μέλος τῆς ἐκκλησίας τοῦ δήμου καὶ τὸν δικαστήν. Ὥστε δικαίως κυρίαρχον ἐπὶ τῶν μειζόνων καθίσταται τὸ πλῆθος καὶ ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὸ δικαστήριον ἐκ πολλῶν ἀπαρτίζονται καὶ τὸ τίμημα πάντων τούτων εἶναι μεγαλύτερον ἢ τὸ τίμημα τῶν καθ' ἕνα καὶ κατ' ὀλίγους ἀρχόντων τὰς μεγάλας ἀρχάς [21]. Καὶ ταῦτα 13
μὲν ἐπαρκῶς ὁπωσδήποτε διηυκρινίσθησαν· ἡ δὲ κατὰ πρῶτον διατυπωθεῖσα ἀπορία [22] οὐδὲν ἕτερον καθιστᾷ οὕτω φανερόν, ὡς τὸ ὅτι πρέπει οἱ νόμοι ὀρθῶς κείμενοι νὰ εἶναι οἱ κυρίαρχοι, οἱ δὲ ἄρχοντες, εἴτε εἷς εἴτε περισσότεροι

*πλείους ὦσι, περὶ τούτων εἶναι κυρίους περὶ ὅσων ἐξαδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς διὰ τὸ μὴ ῥᾴδιον εἶναι καθόλου δηλῶσαι* [a] *περὶ πάντων. Ὁποίους μέντοι τινὰς εἶναι δεῖ τοὺς ὀρθῶς κειμένους νόμους, οὐδέν πω δῆλον, ἀλλ' ἔτι μένει τὸ πάλαι διαπορηθέν· ἅμα* [b] *γὰρ καὶ ὁμοίως ταῖς πολιτείας ἀνάγκη καὶ τοὺς νόμους φαύλους ἢ σπουδαίους εἶναι καὶ δικαίους ἢ ἀδίκους (πλὴν τοῦτό γε φανερόν, ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι τοὺς νόμους)· ἀλλὰ μὴν εἰ τοῦτο, δῆλον ὅτι τοὺς μὲν κατὰ τὰς ὀρθὰς πολιτείας ἀναγκαῖον εἶναι δικαίους τοὺς δὲ κατὰ τὰς παρεκβεβηκυίας οὐ δικαίους.*

**12.** *Ἐπεὶ δ' ἐν πάσαις μὲν ταῖς ἐπιστήμαις καὶ τέχναις* VII *ἀγαθὸν τὸ τέλος, μέγιστον δὲ καὶ μάλιστα ἐν τῇ κυριωτάτῃ πασῶν, αὕτη δ' ἐστὶν ἡ πολιτικὴ δύναμις, ἔστι δὲ τὸ* [c] *πολιτικὸν ἀγαθὸν τὸ δίκαιον, τοῦτο δ' ἐστὶ τὸ κοινῇ συμφέρον δοκεῖ δὴ* [d] *πᾶσιν ἴσον τι τὸ δίκαιον εἶναι, καὶ μέχρι γέ τινος ὁμολογοῦσι τοῖς κατὰ φιλοσοφίαν λόγοις ἐν οἷς διώρι-*

---

[a] *δηλῶσαι* : Π²Η: *διορίσαι* λοιποί

[b] *ἅμα* Bernays: *ἀλλὰ* χ'/φα *ἀλλὰ γὰρ . . . ἀδίκους* κατόπιν τοῦ 12 *νόμους* Congreve

[c] *δὲ τὸ* Susemihl: *δὲ* χ'/φα

[d] *δὴ* Immisch : *δὲ* χ'/φα

---

ΚΕΦ. VII (ΕΙΣ ΤΙΝΑΣ ΑΝΗΚΕΙ Η ΑΡΧΗ ΤΗΣ ΠΟΛΕΩΣ). § 1 Θέσις·περὶ τῆς ἐννοίας τοῦ δικαίου· σχετικότης αὐτοῦ· §§ 2-3 ψευδὴς συλλογισμὸς ὡς πρὸς τὴν σχέσιν δικαίου καὶ οἱουδήποτε πλεονεκτήματος· § 4 ἐπὶ τῆς ἐξισώσεως τῶν πλεονεκτημάτων· συνέχεια· § 5 ὀρθὴ θέσις τοῦ ζητήματος· § 6 συνέχεια· § 7 διεκδίκησις τῶν πολιτικῶν ἀξιωμάτων ἐκ μέρους τῶν διαφόρων μερίδων τῆς πόλεως· § 8 συνέχεια ὡς πρὸς τὰ δικαιώματα τῆς ἀρετῆς· § § 9-11 εἰς

εἶναι, ἐπὶ τούτων νὰ εἶναι κυρίαρχοι, ἐφ᾽ ὅσον ἀδυνατοῦν ἐπακριβῶς νὰ ὁρίζουν οἱ νόμοι, λόγῳ τοῦ ὅτι δὲν εἶναι εὔκολον ἐν τῇ γενικῇ ἀποφάνσει τοῦ νόμου νὰ ὁρίζηται λεπτομερῶς καὶ ἐπὶ πάντων ἡ θέλησις τούτου. Ὁποῖοι ὅμως πρέπει νὰ εἶναι οἱ ὀρθῶς κείμενοι νόμοι, οὐδὲν μέχρι τοῦδε ἐδηλώθη, ἀλλ᾽ ἐξακολουθεῖ νὰ παραμένῃ ἡ ἐν ἀρχῇ ἀπορία· ἄλλωστε καὶ ἀσχέτως τούτου, ἂν καὶ κατ᾽ ἀνάγκην ὅμοιοι κατὰ ποιὸν πρὸς τὸ ποιὸν τῆς πολιτείας θὰ εἶναι καὶ οἱ νόμοι, φαῦλοι ἢ σπουδαῖοι, δίκαιοι ἢ ἄδικοι, φανερὸν εἶναι βεβαίως, ὅτι πρέπει νὰ εἶναι οἱ νόμοι σύμφωνοι πρὸς τὰς θεμελιώδεις ἀρχὰς τοῦ πολιτεύματος· ἀλλ᾽ ἐὰν ἀληθεύῃ τοῦτο, εἶναι φανερὸν ὅτι οἱ κατὰ τὰ ὀρθὰ πολιτεύματα νόμοι κατ᾽ ἀνάγκην εἶναι δίκαιοι, οἱ δὲ κατὰ τὰ παρεκβατικὰ κατ᾽ ἀνάγκην οὐχὶ δίκαιοι.

12 ΚΕΦ. VII. Πασῶν τῶν ἐπιστημῶν καὶ τῶν τεχνῶν 1
ὁ τελικὸς σκοπὸς εἶναι τὸ ἀγαθόν, τὸ μέγιστον δὲ ὁ τελικὸς σκοπὸς τῆς κυριωτάτης πασῶν· αὕτη δὲ εἶναι ἡ πολιτικὴ ἐπιστήμη καὶ τέχνη· πολιτικὸν δὲ ἀγαθὸν εἶναι τὸ δίκαιον, καὶ τοῦτο πάλιν τὸ κοινῇ συμφέρον. Πιστεύεται δὲ παρὰ πάντων ὅτι τὸ δίκαιον εἶναι εἶδός τι ἴσου [1] καὶ μέχρις ἑνὸς σημείου οἱ ἀσχολούμενοι συμφωνοῦν εἰς τὰς φιλοσοφικὰς περὶ δικαίου θεωρίας, αἵτινες σαφῶς ἐν τοῖς

---

ποίαν μερίδα τῆς πόλεως πρέπει νὰ ἀνήκῃ ἡ ἀρχή; § § 12·13 μεταφορὰ ἐπὶ τοῦ δικαίου ἐν συμπεράσματι.

¹) Βλ. κεφ. V, § 8 σημ. 12. Βλ. καὶ ὅσα ἐν τῇ ἀρχῇ τοῦ βιβλίου λέγει περὶ τοῦ τελικοῦ σκοποῦ τῆς πολιτικῆς κοινωνίας· τοῦτο εἶναι τὸ ἄκρον ἀγαθόν, τὸ εὐδαιμόνως ζῆν, ὅπερ ἐπιτυγχάνεται διὰ τοῦ δικαίου· τὸ δίκαιον εἶναι τὸ κοινῇ συμφέρον, ὅπερ πάλιν εἶναι τὸ κύριον ἀντικείμενον τῆς πολιτικῆς ἐπιστήμης.

*σται περὶ τῶν ἠθικῶν· τὶ γὰρ καὶ τισὶ τὸ δίκαιον, καὶ δεῖν τοῖς ἴσοις ἴσον εἶναί φασιν. Ποίων δ' ἰσότης ἐστὶ καὶ ποίων ἀνισότης δεῖ μὴ λανθάνειν· ἔχει γὰρ τοῦτ' ἀπορίαν καὶ φιλοσοφίαν πολιτικήν. Ἴσως γὰρ ἂν φαίη τις κατὰ* 2 *παντὸς ὑπεροχὴν ἀγαθοῦ δεῖν ἀνίσως νενεμῆσθαι τὰς ἀρχάς, εἰ*[a] *πάντα τὰ λοιπὰ μηδὲν διαφέροιεν ἀλλ' ὅμοιοι τυγχάνοιεν ὄντες· τοῖς γὰρ διαφέρουσιν*[b] *ἕτερον εἶναι τὸ δίκαιον καὶ τὸ κατ' ἀξίαν. Ἀλλὰ μὴν εἰ τοῦτ' ἀληθές, ἔσται καὶ κατὰ χρῶμα καὶ κατὰ μέγεθος καὶ καθ' ὁτιοῦν τῶν ἀγαθῶν πλεονεξία τις τῶν πολιτικῶν δικαίων τοῖς ὑπερέχουσιν. Ἢ τοῦτο ἐπιπόλαιον τὸ ψεῦδος; Φανερὸν δ' ἐπὶ τῶν ἄλλων ἐπιστημῶν καὶ δυνάμεων· τῶν γὰρ ὁμοίων αὐλητῶν τὴν τέχνην οὐ δοτέον πλεονεξίαν τῶν αὐλῶν τοῖς εὐγενεστέροις· οὐδὲν γὰρ αὐλήσουσι βέλτιον, δεῖ δὲ τῷ κατὰ τὸ ἔργον ὑπερέχοντι διδόναι καὶ τῶν ὀργάνων τὴν ὑπερο-*

---

[a] *εἰ <καὶ>* ? ed.
[d] *<ὧδε> διαφέρουσιν* ? ἐκδότ.

---

2) Βλ. ἀνωτέρω σημείωσιν. 3) Ὡραῖον παράδειγμα ἐφαρμογῆς μιᾶς τοιαύτης ἀντιλήψεως εἶναι τὸ παρ' Ἡροδότῳ (III, 20) διὰ τοὺς Αἰθίοπας οἵτινες ἀπένεμον τὸ βασιλικὸν ἀξίωμα εἰς τὸν ἔχοντα τὸ ὑψηλότερον ἀνάστημα καὶ τὴν σωματικὴν ἰσχὺν· ἀνάλογον. Τὸ ψεῦδος τοῦ συλλογισμοῦ ἔγκειται εἰς τοὺς ὅρους «παντὸς» καὶ «κατ' ἀξίαν». 4) Πρβλ. *Ρητορ.* III, 1 *ἐπιπόλαια λέγομεν τὰ παντὶ δῆλα καὶ ἃ μηδὲν δεῖ ζητῆσαι.* 5) Εἶναι φανερὸν τὸ ψεῦδος τοῦ συλλογισμοῦ ἐκ τοῦ ὅτι παραβλέπει τὴν σχέσιν τοῦ ὀργάνου πρὸς τὴν ἀφορῶσαν εἰς αὐτὸ ἐπιστήμην· ἡ εὐγένεια ἢ τὸ κάλλος, ὡς καὶ κατωτέρω, χωρὶς καὶ ὁμοῦ λαμβανόμενα, εἶναι ἀγαθὰ ὑπέρτερα τῆς αὐλητικῆς, εἰς οὐδεμίαν ὅμως σχέσιν καὶ συνάφειαν τελοῦν πρὸς τοὺς αὐλούς, οἵτινες εἶναι ὄργανα προωρισμένα διὰ τὴν αὐλητικήν. Κατ' ἀναλογίαν καὶ τὰ πολιτικὰ ἀξιώματα ὡς ὄργανα προωρισμένα νὰ χρησιμοποιοῦνται πρὸς ὡρισμένον σκοπόν, πρὸς τὸν τελικὸν σκοπὸν τῆς πολιτείας, τουτέστι τὸ κοινῇ συμφέρον καὶ τὸ εὐδαιμόνως ζῆν δὲν πρέπει νὰ ἀπονέμωνται κατ' ἀναλογίαν ἀσχέτων πρὸς τὸν σκοπὸν τοῦτον πλεονεκτη-

Ἠθικοῖς[2] διετυπώθησαν· συμφωνοῦν τουτέστιν ἐπὶ τῆς ἐννοίας τοῦ δικαίου καὶ ἐπὶ τῆς σχετικότητος αὐτοῦ, ὡς ὑφισταμένου οὐχὶ καθ᾽ ἑαυτὸ ἀλλ᾽ ἐν σχέσει πρός τινας· ἐπὶ τοῦ ζητήματος ποῖοι εἶναι οὗτοι καὶ ἐπὶ τοῦ ὅτι πρέπει τὸ ἴσον νὰ ἀπονέμηται εἰς τοὺς ἴσους. Ἀλλ᾽ ὅμως δὲν πρέπει νὰ διαφεύγῃ τὸ ποῖοι εἶναι οἱ ἴσοι δι᾽οὓς προώρισται ἡ ἰσότης, καὶ ποῖοι οἱ ἄνισοι δι᾽ οὓς προώρισται ἡ ἀνισότης· διότι καὶ τοῦτο εἶναι ἀπορούμενον καὶ ἀποτελεῖ πρόβλημα τῆς πολιτικῆς φιλοσοφίας. Οὕτω θὰ ἠδύνατό τις νὰ 2
δισχυρισθῇ, ὅτι, ἐὰν οἱ πολῖται καθ' ὅλα μὲν τὰ ἄλλα οὐδόλως διαφέρουν μεταξύ των, ἀλλ᾽ εἶναι πάντες ὅμοιοι, τινὲς ὅμως ἐξ αὐτῶν ὑπερέχουν καθ᾽ ἓν «οἱονδήποτε» ἀγαθόν, τότε πρέπει ἀνίσως νὰ κατανεμηθοῦν εἰς τοὺς ὑπερέχοντας κατὰ τὸ ἀγαθὸν τοῦτο τὰ πολιτικὰ ἀξιώματα· διότι διὰ τοὺς διαφέροντας διάφορον εἶναι τὸ δίκαιον, ὡς μὴ ὂν ἁπλῶς τὸ ἴσον, ἀλλὰ τὸ κατ᾽ ἀξίαν ἴσον. Ἐὰν ὅμως ἀληθεύῃ τοῦτο, τότε οἱ ὑπερέχοντες εἴτε κατὰ τὸ ὡραῖον χρῶμα, εἴτε κατὰ τὸ ὑψηλὸν ἀνάστημα[3], εἴτε καθ᾽ «οἱονδήποτε» ἀγαθόν, ἀνάλογα πρὸς τὸ πλεονέκτημα τοῦτο πρέπει οὗτοι νὰ ἔχουν καὶ πολιτικὰ δικαιώματα. Ἢ τὸ ψεῦδος τοῦ συλλογισμοῦ τούτου εἶναι κατάδηλον;[4] Τοῦτο εἶναι φανερὸν ἐὰν ὁ συλλογισμὸς ἐπεκταθῇ καὶ εἰς τὰς ἄλλας ἐπιστήμας καὶ δεξιότητας· οὕτω ἐὰν πρόκειται νὰ διανείμωμεν αὐλοὺς εἰς αὐλητὰς δὲν ὀφείλομεν νὰ δίδωμεν εἰς τοὺς εὐγενεστέρους τὴν καταγωγὴν τοὺς καλυτέρους αὐλούς, ἐπειδὴ οὐδόλως ἐκ τοῦ πλεονεκτήματος τῆς καταγωγῆς καλύτερον αὐτοὶ διὰ τῶν καλυτέρων αὐλῶν πρόκειται νὰ αὐλήσουν· κατὰ τὸν ἀνωτέρω ὅμως συλλογισμὸν ὁ κατά τι ἀγαθὸν ὑπερέχων πρέπει νὰ ὑπερέχῃ καὶ κατὰ πάντα τἆλλα, συνεπῶς δ᾽ οὕτω καὶ κατὰ τὰ ὄργανα[5]. Ἔστω ὅμως 3

μάτων· οὕτω ἡ σωματικὴ ὑπεροχὴ τοῦ βασιλέως ἔχει πρὸς τὸ βασιλικὸν ἀξίωμα τὴν σχέσιν τὴν ὁποίαν ἔχει ἡ εὐγένεια τῆς καταγωγῆς πρὸς τοὺς αὐλοὺς εἰς τὸ ἔργον τοῦ αὐλητοῦ. Τὰ πολιτικὰ

*χήν. Εἰ δὲ μήπω δῆλον τὸ λεγόμενον, ἔτι μᾶλλον αὐτὸ προ-* 3
*αγαγοῦσιν ἔσται φανερόν. Εἰ γὰρ εἴη τις ὑπερέχων μὲν*
*κατὰ τὴν αὐλητικὴν πολὺ δ' ἐλλείπων κατ' εὐγένειαν ἢ κάλ-*
*λος, εἰ καὶ μεῖζον ἕκαστον ἐκείνων ἀγαθόν ἐστι τῆς αὐλη-*
*τικῆς (λέγω δὲ τήν τ' εὐγένειαν καὶ τὸ κάλλος) καὶ κατὰ*
*τὴν ἀναλογίαν ὑπερέχουσι πλέον τῆς αὐλητικῆς ἢ ἐκεῖνος*
*κατὰ τὴν αὐλητικήν, ὅμως τούτῳ δοτέον τοὺς διαφέροντας*
**1283a** *τῶν αὐλῶν· δεῖ γὰρ εἰς τὸ ἔργον συμβάλλεσθαι τὴν ὑπε-*
*ροχὴν καὶ τοῦ πλούτου καὶ τῆς εὐγενείας, συμβάλλονται δ'*
*οὐδέν. Ἔτι κατά γε τοῦτον τὸν λόγον πᾶν ἀγαθὸν πρὸς* 4
*πᾶν ἂν εἴη συμβλητόν. Εἰ γὰρ μᾶλλον*[a] *τὸ τὶ μέγεθος, καὶ*
*ὅλως ἂν τὸ μέγεθος ἐνάμιλλον εἴη καὶ πρὸς πλοῦτον καὶ*
*πρὸς ἐλευθερίαν· ὥστ' εἰ πλεῖον ὁδὶ διαφέρει κατὰ μέγε-*
*θος ἢ ὁδὶ κατ' ἀρετήν, καὶ πλεῖον ὑπερέχει*[b] *ὅλως ἀρετῆς*
*μέγεθος, εἴη ἂν συμβλητὰ πάντα· τοσόνδε γὰρ [μέγεθος]*[c]
*εἰ κρεῖττον τοσοῦδε*[d]*, τοσόνδε δῆλον ὡς ἴσον. Ἐπεὶ δὲ* 5
*τοῦτ' ἀδύνατον, δῆλον ὡς καὶ ἐπὶ τῶν πολιτικῶν εὐλό-*

---

[a] *ἐνάμιλλον* Ingram : *καλὸν* Richards

[b] *ὑπερέχειν* <*ἐνδέχεται*> ? Susemihl <*εἰ*> *καὶ πλεῖον ὑπερέχει ὅλως ἀρετὴ μεγέθους* Bernays)

[c] [*μέγεθος*] Susemihl : *ἀγαθὸν* ? Newman

[d] *τοσοῦδε* <*πλούτου*> Richards

---

δικαιώματα πρέπει νὰ ἀπονέμωνται κατ' ἀναλογίαν τῶν περισσότερον συντελούντων εἰς τὴν συντήρησιν καὶ ἀνάπτυξιν τῆς πολιτικῆς κοινωνίας πλεονεκτημάτων. [6]) Ἡ ἀπόδοσις τοῦ συλλογισμοῦ εἰς τὴν ἀκόλουθον παράγραφον, ἥτις λόγῳ τῆς ἐκ τῆς συμπυκνώσεως στρυφνότητός της ἀναλυτικώτερον ἀποδίδεται, ὅπως συνάμα καταστῇ τὸ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς συμπέρασμα καταφανέστερον. [7]) Ἐὰν τουτέστιν ἐπεκταθῇ, τοῦ τύπου διατηρουμένου. Ἕκαστον ἀγαθὸν ἔχει ὅλως αὐτοτελῆ τὴν φύσιν καὶ τὴν ἀξίαν, καὶ συνεπῶς ὁ ὑπερέχων κατά τι ἀγαθὸν κατὰ

ἐὰν τὸ παράδειγμα τοῦτο δὲν ἀρκῇ, καὶ ἕτερον, δι' οὗ σαφέστερον θὰ καταδειχθῇ τὸ ψεῦδος τοῦ συλλογισμοῦ τούτου. Ὑποτεθείσθω ὅτι ὑπάρχει τις, ὅστις ὑπερέχει μὲν ἄλλου αὐλητοῦ κατὰ τὴν αὐλητικήν, εἶναι ὅμως πολὺ κατώτερος τούτου κατὰ τὴν εὐγένειαν ἢ τὸ κάλλος, ἂν καὶ τὰ δύο ταῦτα ἀγαθά, χωριστὰ ἑκάτερον λαμβανόμενα, εἶναι ὑπέρτερα τῆς αὐλητικῆς (ἡ εὐγένεια ἐννοῶ καὶ τὸ κάλλος)· καὶ ὅτι τὰ ἀγαθὰ ταῦτα εἶναι περισσότερον κατ' ἀναλογίαν ὑπέρτερα τῆς αὐλητικῆς παρ' ὅσον ὁ ὑπερέχων αὐλητὴς εἶναι ὑπέρτερος κατὰ τὴν αὐλητικὴν τοῦ ὡραίου ἢ εὐγενοῦς συναυλητοῦ του· κατὰ τὸν ὡς ἄνω ὅμως διατυπωθέντα συλλογισμὸν εἰς τοῦτον, τὸν ἧττον δόκιμον αὐλητήν, πρέπει νὰ δοθοῦν οἱ καλύτεροι τῶν αὐλῶν· διότι συμφώνως πρὸς αὐτόν, πρέπει εἰς τὸ ἔργον τοῦ αὐλητοῦ νὰ πρέπει νὰ συνυπολογίζεται καὶ εἴ τις ἄλλη ὑπεροχή, ὡς ἡ τοῦ πλούτου καὶ τῆς εὐγενείας· ταῦτα ὅμως, ὡς ὅλως ἐκτὸς συγκρίσεως πρὸς τὴν αὔλησιν, δὲν συνυπολογίζονται".

4 Ἐπὶ πλέον κατὰ τὸν συλλογισμὸν τοῦτον[7], πᾶν ἀγαθὸν εἶναι δυνατὸν πρὸς πᾶν ἄλλο νὰ συγκριθῇ· οὕτω, ἐάν τις ὑπερέχῃ τοῦ ἄλλου κατὰ τὸ ὕψος τοῦ ἀναστήματος, εἶναι δυνατὸν καθόλου τὸ ὕψος τοῦ ἀναστήματος νὰ συγκριθῇ καὶ πρὸς τὸν πλοῦτον καὶ πρὸς τὴν ἐλευθερίαν καὶ κατὰ συνέπειαν, ἐὰν ὁ μὲν ὑπερέχῃ τοῦ δὲ κατὰ τὸ ἀνάστημα παρ' ὅσον ὁ δὲ ἐκείνου κατ' ἀρετὴν καὶ ἐὰν καθόλου πᾶν μέγεθος περισσότερον οἱασδήποτε ἀρετῆς ὑπερέχῃ, τότε πάντα τὰ ἀγαθὰ θὰ εἶναι δυνατὸν νὰ συγκριθοῦν πρὸς ἄλληλα. Οὕτω ἐὰν μέγεθός τι εἶναι κατὰ τόσον ἀνώτερον ἄλλου ἀγαθοῦ ὡς μέγεθος, εἶναι φανερὸν ὅτι κατὰ τόσον ὑπολείπεται τὸ ἀγαθὸν τοῦτο τοῦ μεγέθους ὡς ἴσον. Ἐπειδὴ 5
ὅμως τὸ συμπέρασμα τοῦτο εἶναι ἀδύνατον, ἕπεται ὅτι καὶ ἐπὶ τῶν πολιτικῶν ζητημάτων ἡ διὰ πᾶσαν ἐπὶ πλέον ἀνι-

---

τοῦτο μόνον ὑπερέχει καὶ δὲν παύει νὰ εἶναι κατώτερος τοῦ ἄλλου κατὰ τὸ ἀγαθὸν καθ' ὃ ὁ ἄλλος ὑπερτερεῖ τούτου.

γως οὐ κατὰ πᾶσαν ἀνισότητ᾿ ἀμφισβητοῦσι τῶν ἀρχῶν
—εἰ γὰρ οἱ μὲν βραδεῖς οἱ δὲ ταχεῖς, οὐδὲν διὰ τοῦτο δεῖ
τοὺς μὲν πλεῖον τοὺς δ᾿ ἔλαττον ἔχειν, ἀλλ᾿ ἐν τοῖς γυμνι-
κοῖς ἀγῶσιν ἡ τούτων διαφορὰ λαμβάνει τὴν τιμήν. Ἀλλ᾿
ἐξ ὧν πόλις συνέστηκεν, ἐν τούτοις ἀναγκαῖον ποιεῖσθαι τὴν
ἀμφισβήτησιν. Διόπερ εὐλόγως ἀντιποιοῦνται τῆς τιμῆς οἱ
εὐγενεῖς καὶ ἐλεύθεροι καὶ πλούσιοι. Δεῖ γὰρ ἐλευθέρους τ᾿
εἶναι καὶ τίμημα φέροντας, οὐ γὰρ ἂν εἴη πόλις ἐξ ἀπό-
ρων πάντων, ὥσπερ οὐδ᾿ ἐκ δούλων. Ἀλλὰ μὴν εἰ δεῖ 6
τούτων, δῆλον ὅτι καὶ δικαιοσύνης καὶ τῆς πολιτικῆς [a]
ἀρετῆς, οὐδὲ γὰρ ἄνευ τούτων οἰκεῖσθαι πόλιν δυνατόν·
πλὴν ἄνευ μὲν τῶν προτέρων ἀδύνατον εἶναι πόλιν, ἄνευ
δὲ τούτων οἰκεῖσθαι καλῶς.

**13.** Πρὸς μὲν οὖν τὸ πόλιν εἶναι δόξειεν ἂν ἢ πάντα ἢ
ἔνιά γε τούτων ὀρθῶς ἀμφισβητεῖν, πρὸς μέντοι ζωὴν ἀγα-
θὴν ἡ παιδεία καὶ ἡ ἀρετὴ μάλιστα δικαίως ἂν ἀμφισβη-
τοίησαν, καθάπερ εἴρηται καὶ πρότερον. Ἐπεὶ δ᾿ οὔτε πάν- 7
των ἴσον ἔχειν [b] δεῖ τοὺς ἴσους ἕν τι μόνον ὄντας οὔτε ἄνι-
σον τοὺς ἀνίσους καθ᾿ ἕν, ἀνάγκη πάσας εἶναι τὰς τοιαύτας
πολιτείας παρεκβάσεις. Εἴρηται μὲν οὖν καὶ πρότερον ὅτι
διαμφισβητοῦσι τρόπον τινὰ δικαίως πάντες, ἁπλῶς δ᾿ οὐ
πάντες δικαίως, οἱ πλούσιοι μὲν ὅτι πλεῖον μέτεστι τῆς χώ-
ρας αὐτοῖς, ἡ δὲ χώρα κοινόν, ἔτι [c] πρὸς τὰ συμβόλαια πι-
στοὶ μᾶλλον ὡς ἐπὶ τὸ πλέον, οἱ δ᾿ ἐλεύθεροι καὶ εὐγενεῖς

---

[a] πολεμικῆς πλεῖστα χ'/φα

[b] <μετ>έχειν Wallies

[c] ἔτι <ὡς> ? ἐκδότ.

σότητα διεκδίκησις τῶν πολιτικῶν ἀξιωμάτων δὲν στηρίζεται ἐπὶ τοῦ ὀρθοῦ λόγου· ἐὰν π. χ. οἱ μὲν εἶναι βραδεῖς, οἱ δὲ ταχεῖς, οὐδόλως διὰ τὸ ἄνισον τοῦτο πλεονέκτημα ἢ μειονέκτημα πρέπει οἱ μὲν νὰ ἔχουν περισσότερα, οἱ δὲ ὀλιγώτερα δικαιώματα ἐπὶ τῶν πολιτικῶν ἀξιωμάτων· ἡ τοιαύτη διαφορὰ μόνον εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἐκτιμᾶται· συνεπῶς ἐξάγομεν τὸ συμπέρασμα ὅτι ἡ διεκδίκησις τῶν πολιτικῶν δικαιωμάτων ἐν τῷ πολιτικῷ βίῳ πρέπει κατ᾽ ἀνάγκην νὰ στηρίζηται ἐπὶ διαφορᾶς χαρακτηριζομένης ἐξ αὐτῶν τούτων τῶν στοιχείων τῆς πόλεως. Ἐκ τούτου καὶ κατὰ λογικὴν ἀνάγκην ἀντιποιοῦνται τῶν πολιτικῶν ἀξιωμάτων οἱ εὐγενεῖς, οἱ ἐλεύθεροι καὶ οἱ πλούσιοι· διότι κατ᾽ ἀνάγκην ὑπάρχουν ἐν τῇ πόλει πολῖται καὶ ἐλεύθεροι καὶ εἰσοδήματα ἔχοντες, ἐφ᾽ ὅσον ἀδύνατον εἶναι νὰ ὑπάρχῃ πόλις καθ᾽ ὁλοκληρίαν ἐξ ἀπόρων συγκειμένη, ὅπως οὐδ᾽ ἐκ δούλων. Ἀλλ᾽ ἐὰν οὗτοι ἀποτελοῦν ἀπαραί- 6
τητα συστατικὰ στοιχεῖα τῆς πόλεως, ἐξ ἴσου ἀπαραίτητα εἶναι καὶ ἡ δικαιοσύνη καὶ ἡ πολεμικὴ ἀρετή. Διότι οὐδ᾽ ἄνευ τούτων εἶναι δυνατὸν νὰ κατοικῆται πόλις· μὲ τὴν διαφοράν, ὅτι ἄνευ μὲν τῶν πρώτων ἀδύνατον εἶναι νὰ ὑπάρχῃ πόλις, ἄνευ δὲ τῶν τελευταίων νὰ κατοικῆται καλῶς. **(13)** Οὕτω, ὡς πρὸς τὴν ὕπαρξιν μὲν τῆς πόλεως ἢ πάντα ἢ μερικὰ τοὐλάχιστον ἐκ τῶν στοιχείων τούτων δύνανται ὀρθῶς νὰ διεκδικήσουν τὴν ἀναγνώρισίν των ὡς συντελεστικῶν στοιχείων, ὡς πρὸς τὴν ἀγαθὴν ὅμως καὶ εὐδαίμονα ζωὴν ἡ παιδεία καὶ ἡ ἀρετὴ τὰ μάλιστα δικαίως θὰ ἠδύναντο νὰ διεκδικήσουν τὰ δικαιώματά των, καθὼς καὶ πρότερον ἐλέχθη. Ἐπειδὴ δέ, οὔτε οἱ ἴσοι μὲν πρὸς 7
ἀλλήλους ἀλλ᾽ ἑνιαῖον σύνολον ἀποτελοῦντες πρέπει νὰ μετέχουν ἐξ ἴσου πάντων ἀνεξαιρέτως τῶν πολιτικῶν ἀξιωμάτων, οὔτε πάλιν ἀνίσως οἱ ἄνισοι καθ᾽ ἓν μόνον ἀγαθόν, κατ᾽ ἀνάγκην ὅπου τοιοῦτόν τι συμβαίνει, τὸ πολίτευμα εἶναι παρεκβατικόν. Ὡς δὲ καὶ ἐλέχθη, πάντες οἱ διεκδικοῦντες τὰ ἀξιώματα τῆς πόλεως, ἀπὸ μιᾶς μὲν ἀπόψεως δικαίως διεκδικοῦν ταῦτα, ἀπολύτως ὅμως οὐχὶ δικαίως· οὕτω οἱ μὲν πλούσιοι θεωροῦν τὰς αὐτῶν ἀξιώσεις δικαίας, ἐπειδὴ εἰς αὐτοὺς ἀνήκει τὸ περισσότερον μέρος τῆς χώρας· ἡ δὲ χώρα εἶναι κοινὸν ἀγαθόν· ἐπὶ πλέον δὲ καὶ διότι αὐτοὶ εἰς τὰς δοσοληψίας των εἶναι ὡς ἐπὶ τὸ πλεῖστον ἀξιοπιστότεροι τῶν ἄλλων. Ἐπὶ ἀναλόγων ἀφ᾽ ἑτέρου ἐπιχειρημάτων οἱ ἐλεύθεροι καὶ εὐγενεῖς στηριζόμενοι διεκδικοῦν

ὡς ἐγγὺς ἀλλήλων (πολῖται γὰρ μᾶλλον οἱ γενναιότεροι τῶν
ἀγεννῶν, ἡ δ' εὐγένεια παρ' ἑκάστοις οἴκοι τίμιος), ἔτι
διότι βελτίους εἰκὸς τοὺς ἐκ βελτιόνων, εὐγένεια γάρ ἐστιν
ἀρετὴ γένους· ὁμοίως δὲ[a] φήσομεν δικαίως καὶ τὴν ἀρετὴν 8
ἀμφισβητεῖν, κοινωνικὴν γὰρ ἀρετὴν εἶναί φαμεν τὴν δικαι-
οσύνην, ᾗ πάσας ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας· ἀλλὰ
μὴν καὶ οἱ πλείους πρὸς τοὺς ἐλάττους, καὶ γὰρ κρείττους
καὶ πλουσιώτεροι καὶ βελτίους εἰσὶν ὡς λαμβανομένων τῶν
1283b πλειόνων πρὸς τοὺς ἐλάττους. Ἆρ' οὖν εἰ πάντες εἶεν ἐν μιᾷ
πόλει, λέγω δ' οἷον οἵ τ' ἀγαθοὶ καὶ οἱ πλούσιοι καὶ εὐγε-
νεῖς, ἔτι δὲ πλῆθος ἄλλο τι πολιτικόν, πότερον ἀμφισβήτη-
σις ἔσται τίνας ἄρχειν δεῖ ἢ οὐκ ἔσται; Καθ' ἑκάστην μὲν 9
οὖν πολιτείαν τῶν εἰρημένων ἀναμφισβήτητος ἡ κρίσις τί-
νας ἄρχειν δεῖ (τοῖς γὰρ κυρίοις διαφέρουσιν ἀλλήλων, οἷον
ἡ μὲν τῷ διὰ πλουσίων ἡ δὲ τῷ διὰ τῶν σπουδαίων ἀν-
δρῶν εἶναι, καὶ τῶν ἄλλων ἑκάστη τὸν αὐτὸν τρόπον)· ἀλλ'
ὅμως σκοποῦμεν, ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρό-
νον, πῶς διοριστέον. Εἰ δὴ τὸν ἀριθμὸν εἶεν ὀλίγοι πάμ- 10
παν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνα δεῖ διελεῖν τὸν τρόπον; Ἢ
τὸ ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν εἰ δυνατοὶ διοικεῖν τὴν
πόλιν ἢ τοσοῦτοι τὸ πλῆθος ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν; Ἔστι
δὲ ἀπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦντας περὶ
τῶν πολιτικῶν τιμῶν. Δόξαιεν γὰρ ἂν[b] οὐδὲν λέγειν δίκαιον
οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν, ὁμοίως δὲ καὶ οἱ κατὰ
γένος· δῆλον γὰρ ὡς εἴ τις πάλιν εἷς πλουσιώτερος ἁπάν-

---

[a] δ Γ: δὴ χ'/φα
[b] γὰρ ἂν Κοραῆς: γὰρ χ'/φα

ἐν τῇ πόλει κυριαρχίαν· διότι οἱ ἐξ ἐπιφανεστέρων γενῶν καταγόμενοι εἶναι πολῖται ἀνώτεροι ἀπὸ τοὺς ἐξ ἀφανῶν γενῶν καταγομένους, καὶ παρ' ἑκάστῃ πόλει ἐξαιρετικὴ τιμὴ ἀπονέμεται εἰς τοὺς οἴκους τῶν εὐγενῶν· στηρίζουν δὲ οὗτοι τὰς διεκδικήσεις των καὶ ἐπὶ τῆς εὐλόγου πίστεως ὅτι καλύτεροι εἶναι οἱ ἐκ τῶν καλυτέρων γονέων γεννηθέντες· διότι «εὐγένεια» εἶναι ἀρετὴ γένους. Καθ' ὅμοιον 8
λοιπὸν τρόπον σκεπτόμενοι θὰ εἴπωμεν, ὅτι καὶ ἡ ἀρετὴ δικαίως διεκδικεῖ δικαιώματα ἐν τῇ πόλει· διότι παραδεχόμεθα ὅτι ἡ δικαιοσύνη εἶναι κοινωνικὴ ἀρετή, τὴν ὁποίαν πᾶσαι αἱ ἄλλαι ὀφείλουν νὰ ἀκολουθοῦν. Ἀφ' ἑτέρου ὅμως καὶ οἱ πλείονες δικαίως δύνανται νὰ διεκδικοῦν ἔναντι τῶν ὀλιγωτέρων τὴν κυρίαρχον ἐξουσίαν· διότι καὶ οὗτοι ἐν συνόλῳ καὶ ἰσχυρότεροι καὶ πλουσιώτεροι καὶ καλύτεροι τῶν ὀλιγωτέρων εἶναι. Ἀλλ' ἐπὶ τῇ ὑποθέσει ὅτι πᾶσαι αἱ ἀνωτέρω τάξεις ὑπάρχουν ἐν μιᾷ πόλει, ἔγκριτοι, πλούσιοι, εὐγενεῖς καὶ ἄλλο πλῆθος πολιτῶν, ἆρά γε θὰ διαμφισβητῆται καὶ πάλιν τίνες πρέπει νὰ κατέχουν τὴν κυρίαρχον ἐξουσίαν, ἢ οὐδεμία ἐπὶ τούτου διαφωνία θὰ ὑπάρχῃ πλέον;
Ἀναντίρρητος θὰ ἦτο κατ' ἀρχὴν ἡ κρίσις ἐὰν ἐλέγο- 9
μεν ὅτι ἄρχοντες πρέπει νὰ εἶναι ἐν ἑκάστῳ πολιτεύματι ἐκεῖνοι τῶν ὁποίων τὸ κύριον πλεονέκτημα ἐπικρατεῖ· διότι τὰ πολιτεύματα διαφέρουσιν ἀλλήλων· οὕτω εἰς τοῦτο μὲν ἄρχουν οἱ πλούσιοι, εἰς ἐκεῖνο οἱ σπουδαῖοι ἄνδρες καὶ ὁμοίως ἄλλοι εἰς ἕκαστον ἄλλο Ἀλλ' ἐὰν αἱ ἀνωτέρω τάξεις ὑπάρχουν ταυτοχρόνως ἔν τινι πόλει, ὁποία πολιτικὴ
δύναμις ἀνήκει εἰς ἑκάστην ἐξ αὐτῶν; Οὕτω, ἐὰν οἱ ἔχον- 10
τες τὴν ἀρετὴν σπουδαῖοι πολῖται εἶναι κατ' ἀριθμὸν πάρα πολὺ ὀλίγοι, κατὰ τίνα τρόπον θὰ μοιρασθῇ καλῶς μεταξὺ τούτων τῶν τόσον ὀλίγων ἡ κυρίαρχος ἐξουσία; Ἢ τὸ "ὀλίγοι" δέον νὰ κριθῇ ἐν σχέσει πρὸς τὸ πολιτικὸν ἔργον, ἐὰν δηλαδὴ καίτοι ὀλίγοι ἔχουν τὴν ἱκανότητα νὰ διοικῶσι καλῶς; Ἢ ὑπὸ τὸ "ὀλίγοι" δέον νὰ ἐννοήσωμεν τόσοι κατ' ἀριθμόν, ὥστε νὰ ἐξαρκοῦν εἰς πάσας τὰς ἀνάγκας εὐνομουμένης πόλεως; Ἐπὶ πλέον ὅμως ἐγείρεται καὶ μία ἄλλη ἀπορία κατὰ πάντων ἐκείνων, οἵτινες ἐπὶ τῆς οἰκείας ἕκαστοι ὑπεροχῆς στηριζόμενοι διεκδικοῦν τὰ πολιτικὰ ἀξιώματα· ὅτι τουτέστιν οὐδὲν κατ' οὐσίαν δίκαιον ἐπικαλοῦνται οἱ ἕνεκα τοῦ πλούτου των ἀξιοῦντες νὰ εἶναι διαρκῶς ἄρχοντες· καὶ ὁμοία κατόπιν κατὰ τῶν εὐγενῶν. Διότι ἐὰν εἷς ἐκ τῶν πρώτων εἶναι πλουσιώτερος ὅλων ὁμοῦ τῶν

των ἐστί, δηλονότι κατὰ τὸ αὐτὸ δίκαιον τοῦτον ἄρχειν
τὸν ἕνα ἁπάντων δεήσει, ὁμοίως δὲ καὶ τὸν εὐγενείᾳ δια-
φέροντα τῶν ἀμφισβητούντων δι' ἐλευθερίαν. Ταὐτὸ δὲ τοῦτ' 1
ἴσως συμβήσεται καὶ περὶ τὰς ἀριστοκρατίας ἐπὶ τῆς ἀρετῆς·
εἰ γάρ τις εἷς ἀμείνων ἀνὴρ εἴη τῶν ἄλλων τῶν ἐν τῷ πο-
λιτεύματι σπουδαίων ὄντων, τοῦτον εἶναι δεῖ κύριον κατὰ
ταὐτὸ δίκαιον. Οὐκοῦν εἰ καὶ τὸ πλῆθος εἶναί γε δεῖ κύριον
διότι κρείττους εἰσὶ τῶν ὀλίγων, κἂν εἷς ἢ πλείους μὲν τοῦ ἑνὸς
ἐλάττους δὲ τῶν πολλῶν κρείττους ὦσι τῶν ἄλλων, τούτους
ἂν δέοι κυρίους εἶναι μᾶλλον ἢ τὸ πλῆθος. Πάντα δὴ ταῦτ' 1
ἔοικε φανερὸν ποιεῖν ὅτι τούτων τῶν ὅρων οὐδεὶς ὀρθός
ἐστι καθ' ὃν [a] ἀξιοῦσιν αὐτοὶ μὲν ἄρχειν τοὺς δ' ἄλλους ὑπὸ
σφῶν ἄρχεσθαι πάντας. Καὶ γὰρ δὴ καὶ πρὸς τοὺς κατ' ἀ-
ρετὴν ἀξιοῦντας κυρίους εἶναι τοῦ πολιτεύματος, ὁμοίως δὲ
καὶ τοὺς κατὰ πλοῦτον, ἔχοιεν ἂν λέγειν τὰ πλήθη λόγον
τινὰ δίκαιον· οὐδὲν γὰρ κωλύει ποτὲ τὸ πλῆθος εἶναι βέλ-
τιον τῶν ὀλίγων καὶ πλουσιώτερον, οὐχ ὡς καθ' ἕκαστον
ἀλλ' ὡς ἀθρόους. Διὸ καὶ πρὸς τὴν ἀπορίαν ἣν ζητοῦσι καὶ 13
προβάλλουσί τινες ἐνδέχεται τοῦτον τὸν τρόπον ἀπαντᾶν
(ἀποροῦσι γάρ τινες πότερον τῷ νομοθέτῃ νομοθετητέον,
βουλομένῳ τίθεσθαι τοὺς ὀρθοτάτους νόμους, πρὸς τὸ τῶν
βελτιόνων συμφέρον ἢ πρὸς τὸ τῶν πλειόνων) ὅταν συμβαί-
νῃ τὸ λεχθέν. Τὸ δ' ὀρθὸν ληπτέον ἴσως, τὸ δ' ἴσως ὀρθὸν
πρὸς τὸ τῆς πόλεως ὅλης συμφέρον καὶ πρὸς τὸ κοινὸν τὸ
τῶν πολιτῶν· πολίτης δὲ κοινῇ μὲν ὁ μετέχων τοῦ ἄρχειν

---

[a] οὕς ? ἐκδ.

ἄλλων, ὁ εἷς αὐτὸς προφανῶς κατὰ τὸ αὐτὸ δίκαιον θὰ δικαιοῦται νὰ κυβερνᾷ ὅλους ὁμοῦ τοὺς ἄλλους. Ὁμοίως καὶ ὁ κατὰ τὴν εὐγένειαν ὑπερέχων θὰ δικαιοῦται νὰ κυβερνᾷ πάντας τοὺς ἐπὶ τῇ βάσει τῶν δικαιωμάτων τοῦ ἐλευθέρου πολίτου διεκδικοῦντας τὰ πολιτικὰ ἀξιώματα.

Εἰς τὸ αὐτὸ καταλήγομεν ὁμοίως συλλογιζόμενοι καὶ ἐπὶ τῶν ἀριστοκρατικῶν πολιτευμάτων τῶν βασιζομένων ἐπὶ τῆς ἀρετῆς τῶν πολιτῶν· διότι ἐὰν εἷς οἱοσδήποτε ὑπερέχῃ κατὰ τὴν ἀρετὴν τῶν ἄλλων, ὅσοι ἐν τῷ πολιτεύματι τούτῳ εἶναι σπουδαῖοι, κατὰ τὸ αὐτὸ δίκαιον οὗτος πρέπει νὰ κυβερνᾷ πάντας. Ἀλλὰ τὸ αὐτὸ δίκαιον ἐφαρμόζεται καὶ προκειμένου περὶ τοῦ πλήθους, ἐὰν δεχθῶμεν ὅτι αὐτὸ ἔχει δικαίωμα εἰς τὴν κυρίαρχον ἐξουσίαν, διότι, καθ' ἃ ἐλέχθη, οἱ πολλοὶ εἶναι καλύτεροι τῶν ὀλίγων. Οὕτω, ἐὰν εἷς ἢ πλείονες μὲν τοῦ ἑνός, ὀλιγώτεροι ὅμως τῶν πολλῶν εἶναι καλύτεροι τῶν ἄλλων, αὐτοὶ περισσότερον παρὰ τὸ πλῆθος τῶν πολιτῶν ἔχουν δικαίωμα εἰς τὴν κυρίαρχον ἐξουσίαν τῆς πόλεως. Ἐκ τούτων λοιπὸν συνάγεται, ὅτι 11

12 οὐδεὶς ἐκ τῶν ἀνωτέρω ὅρων τοῦ δικαίου εἶναι ὀρθός, ἐφ' ἑκάστου τῶν ὁποίων στηρίζοντες ἕκαστοι τὰ δικαιώματά των ἀξιοῦν αὐτοὶ μὲν νὰ ἄρχουν, πάντες δὲ οἱ ἄλλοι νὰ ἄρχωνται. Ἡ τοιαύτη ὅμως ἀξίωσις εἶναι ἥκιστα ὀρθή· διότι τόσον πρὸς τοὺς διεκδικοῦντας τὴν ἀρχὴν τῆς πόλεως ἕνεκα τῆς ἀρετῆς των, ὅσον καὶ πρὸς τοὺς ἕνεκα τοῦ πλούτου των τὰ αὐτὰ ἀξιοῦντας, δύνανται αἱ πλειονότητες νὰ ἀντιτάσσουν τὸ ἑξῆς: ὅτι οὐδὲν ἀποκλείει τὸ νὰ εἶναι οἱ πολυαριθμότεροι πολῖται καλύτεροι τῶν ὀλίγων, οὐχὶ κατ' ἄτομον, ἀλλ' ὡς σύνολον.

13 Συνεπῶς ὁμοίως δέον νὰ ἀπαντήσωμεν καὶ πρὸς τὴν ἀνωτέρω ἐρώτησιν, τὴν παρά τινων ἀπορούντων προβαλλομένην, οἵτινες ἐρωτοῦν ἐὰν ὁ προτιθέμενος νὰ θεσπίσῃ τοὺς ὀρθοτάτους τῶν συντακτικῶν νόμων νομοθέτης πρέπει νὰ ἀποβλέπῃ πρὸς τὸ συμφέρον τῶν καλυτέρων πολιτῶν ἢ πρὸς τὸ τῶν πλειόνων, ὅταν οὗτοι ὡς σύνολον λαμβανόμενοι εἶναι καλύτεροι τῶν ἄλλων. Ὑπὸ τὸ "ὀρθὸν" ὅμως δέον νὰ ἐξυπακούηται καὶ τὸ "κατὰ τὸ ἴσον"· τὸ δὲ "κατὰ τὸ ὀρθὸν" ἴσον πολίτευμα ἀποβλέπει πρὸς τὸ συμφέρον καὶ ὁλοκλήρου τῆς πόλεως καὶ πρὸς τὸ κοινὸν τῶν πολιτῶν. Πολίτης δὲ γενικῶς μὲν καλεῖται ὁ ἔχων καὶ ἀσκῶν τὸ δι-

1284a καὶ ἄρχεσθαί ἐστι, καθ' ἑκάστην δὲ πολιτείαν ἕτερος, πρὸς
δὲ τὴν ἀρίστην ὁ δυνάμενος καὶ προαιρούμενος ἄρχεσθαι
καὶ ἄρχειν πρὸς τὸν βίον τὸν κατ' ἀρετήν.

13b Εἰ δέ τίς ἐστιν εἷς τοσοῦτον διαφέρων κατ' ἀρετῆς VII
ὑπερβολήν, ἢ πλείους μὲν ἑνὸς μὴ μέντοι δυνατοὶ πλήρωμα
παρασχέσθαι πόλεως, ὥστε μὴ συμβλητὴν εἶναι τὴν τῶν
ἄλλων ἀρετὴν πάντων μηδὲ τὴν δύναμιν αὐτῶν τὴν πολιτι-
κὴν πρὸς τὴν ἐκείνων εἰ πλείους, εἰ δ' εἷς τὴν ἐκείνου μό-
νον, οὐκέτι θετέον τούτους μέρος πόλεως· ἀδικήσονται γὰρ
ἀξιούμενοι τῶν ἴσων, ἄνισοι τοσοῦτον κατ' ἀρετὴν ὄντες καὶ
τὴν πολιτικὴν δύναμιν ὥσπερ γὰρ θεὸν ἐν ἀνθρώποις εἰ-
κὸς εἶναι τὸν τοιοῦτον. Ὅθεν δῆλον ὅτι καὶ τὴν νομοθε- 2
σίαν ἀναγκαῖον εἶναι περὶ τοὺς ἴσους καὶ τῷ γένει καὶ τῇ
δυνάμει, κατὰ δὲ τῶν τοιούτων οὐκ ἔστι νόμος, αὐτοὶ γάρ
εἰσι νόμος· καὶ γὰρ γελοῖος ἂν εἴη νομοθετεῖν τις πειρώ-
μενος κατ' αὐτῶν· λέγοιεν γὰρ ἂν ἴσως ἅπερ Ἀντισθένης
ἔφη τοὺς λέοντας δημηγορούντων τῶν δασυπόδων καὶ τὸ
ἴσον ἀξιούντων πάντας ἔχειν. Διὸ καὶ τίθενται τὸν ὀστρακι-
σμὸν αἱ δημοκρατούμεναι πόλεις διὰ τὴν τοιαύτην αἰτίαν·
αὗται γὰρ δὴ δοκοῦσι διώκειν τὴν ἰσότητα μάλιστα πάντων
ὥστε τοὺς δοκοῦντας ὑπερέχειν δυνάμει διὰ πλοῦτον ἢ πο-
λυφιλίαν ἤ τινα ἄλλην πολιτικὴν ἰσχὺν ὠστράκιζον καὶ με-
θίστασαν ἐκ τῆς πόλεως χρόνους ὡρισμένους. Μυθολογεῖται 3
δὲ καὶ τοὺς Ἀργοναύτας τὸν Ἡρακλέα καταλιπεῖν διὰ τοι-

---

ΚΕΦ. VIII (Ποία εἶναι ἐντὸς τῶν πολιτῶν ἡ θέσις τοῦ ἐπὶ πολιτικῇ ἀρετῇ καὶ μεγαλοφυΐᾳ πάντων ὁμοῦ τῶν ἄλλων ὑπερέχοντος πολίτου· θέσις καὶ λύσις).

καίωμα τοῦ ἄρχειν καὶ ἄρχεσθαι, καθ' ἕκαστον ὅμως πολίτευμα δὲν λαμβάνεται ὑπὸ τὴν αὐτήν, ἀλλ' ὑπὸ διάφορον ἔννοιαν· κατὰ δὲ τὸ ἄριστον ἐν τέλει πολίτευμα πολίτης εἶναι ὁ δυνάμει ἔχων τὴν ἱκανότητα καὶ ἐξ οἰκείας διαθέσεως προτιθέμενος νὰ ἄρχηται καὶ νὰ ἄρχῃ ἀποβλέπων πρὸς τὸν κατ' ἀρετὴν βίον.

13b ΚΕΦ VIII. Ἂς ὑποθέσωμεν ὅμως ὅτι ὑπάρχει 1
ἔν τινι πόλει πολίτης τις ὑπερέχων ὑπερβολικὰ
κατ' ἀρετὴν ἢ πλείονες μὲν τοῦ ἑνὸς ἀνεπαρκεῖς ὅμως κατ'
ἀριθμὸν ὅπως καταλάβουν πάσας τὰς διὰ τοῦ πολιτεύματος
καθιερωμένας θέσεις ἀρχόντων, ἐπὶ πλέον δὲ ὅτι ἡ διαφορὰ
τῆς ἀρετῆς τῶν τοιούτων εἶναι τόση, ὥστε, εἴτε πλείονες
τοῦ ἑνὸς εἶναι αὐτοί, εἴτε εἷς μόνος, νὰ ὑπερέχῃ ἀσυγκρίτως
ὅλων ὁμοῦ τῶν ἄλλων κατὰ τὴν ἀρετὴν καὶ κατὰ τὴν
πολιτικὴν ἐπιστήμην καὶ ἱκανότητα·—ἐὰν λοιπὸν ὑπάρχουν
τοιοῦτοι, οὐδόλως ὀφείλομεν νὰ θεωρήσωμεν αὐτοὺς
ὡς ἀποτελοῦντας μέρος πόλεως ἴσα δικαιώματα ἔχοντας
μὲ τὰ ἄλλα αὐτῆς μέρη, ἐπειδὴ τότε αὐτοὶ θὰ εἶναι οἱ
ἀδικούμενοι, ἐὰν κρίνωνται ὡς ἄξιοι τῶν ἴσων μὲ τοὺς ἄλλους,
ἐνῷ τόσον πολὺ ἄνισοι ἐν συγκρίσει πρὸς αὐτοὺς εἶναι
κατὰ τὴν ἀρετὴν καὶ τὴν πολιτικὴν μεγαλοφυΐαν· διότι
πᾶς τοιοῦτος προφανὲς εἶναι ὅτι εἶναι ἀνάλογος πρὸς θεὸν
ἀπέναντι τῶν ἀνθρώπων. Συνεπῶς προφανὲς εἶναι ὅτι καὶ 2
ἡ νομοθεσία πρέπει κατ' ἀνάγκην νὰ ἀποβλέπῃ μόνον εἰς
τοὺς κατὰ τὸ γένος καὶ τὴν πολιτικὴν δύναμιν ἴσους,
ἐπειδὴ κατὰ τῶν τοιούτων τῶν καθ' ὑπερβολὴν ὑπερεχόντων
ἀνδρῶν δὲν ἰσχύει νόμος· διότι αὐτοὶ εἶναι νόμος. Καὶ
πράγματι γελοῖος θὰ ἦτο ἐκεῖνος ὅστις θὰ ἀπεπειρᾶτο νὰ
νομοθετῇ κατ' αὐτῶν· διότι εἰς τὸν τοιοῦτον νομοθέτην θὰ
ἔδιδον οὗτοι τὴν ἀπάντησιν τὴν ὁποίαν, ὡς εἶπεν ὁ Ἀντισθένης,
ἔδωσαν οἱ λέοντες πρὸς τοὺς λαγωοὺς δημηγοροῦντας
καὶ ἀξιοῦντας ἴσα νὰ ἔχουν πάντες δικαιώματα. Διὰ
τὴν αὐτὴν δὲ αἰτίαν καὶ τὸν ὀστρακισμὸν θεσπίζουν αἱ δημοκρατούμεναι
πόλεις, ἐπειδὴ αὗται ὑπὲρ πάσας τὰς ἄλλας
θεωροῦνται ὡς κατ' ἐξοχὴν ἐπιδιώκουσαι τὴν ἰσότητα.
Οὕτω ἐξωστράκιζον ἐκ τῆς πόλεως ἐπὶ ὡρισμένον χρόνον
ὅσους ἔβλεπον ὑπερέχοντας τῶν ἄλλων κατὰ τὴν πολιτικὴν
δύναμιν, εἴτε διότι ἦσαν πλούσιοι, εἴτε διότι εἶχον
πολλοὺς κομματικοὺς φίλους, εἴτε διότι ἐξ ἄλλου τινὸς λόγου
ἦσαν πολιτικῶς ἰσχυροί. Διὰ τοιαύτην δὲ αἰτίαν μυθο- 3
λογεῖται ὅτι καὶ οἱ Ἀργοναῦται ἐγκατέλειψαν τὸν Ἡρακλέα,
διότι ὡς κατὰ πολὺ ὑπερέχοντα τῶν ἄλλων συμπλω-

αὐτὴν αἰτίαν· οὐ γὰρ ἐθέλειν αὐτὸν ἄγειν τὴν Ἀργὼ μετὰ τῶν ἄλλων ὡς ὑπερβάλλοντα πολὺ τῶν πλωτήρων. Διὸ καὶ τοὺς ψέγοντας τὴν τυραννίδα καὶ τὴν Περιάνδρου Θρασυβούλῳ συμβουλίαν οὐχ ἁπλῶς οἰητέον ὀρθῶς ἐπιτιμᾶν (φασὶ γὰρ τὸν Περίανδρον εἰπεῖν μὲν οὐδὲν πρὸς τὸν πεμφθέντα κήρυκα περὶ τῆς συμβουλίας, ἀφαιροῦντα δὲ τοὺς ὑπερέχοντας τῶν σταχύων ὁμαλῦναι τὴν ἄρουραν· ὅθεν ἀγνοοῦντος μὲν τοῦ κήρυκος τοῦ γινομένου τὴν αἰτίαν, ἀπαγγείλαντος δὲ τὸ συμπεσόν, συννοῆσαι τὸν Θρασύβουλον ὅτι δεῖ τοὺς ὑπερέχοντας ἄνδρας ἀναιρεῖν)· τοῦτο γὰρ οὐ μόνον συμφέρει 4 τοῖς τυράννοις οὐδὲ μόνον οἱ τύραννοι ποιοῦσιν, ἀλλ' ὁμοίως ἔχει καὶ περὶ τὰς ὀλιγαρχίας καὶ τὰς δημοκρατίας· ὁ γὰρ ὀστρακισμὸς τὴν αὐτὴν ἔχει δύναμιν τρόπον τινὰ τῷ κολούειν τοὺς ὑπερέχοντας καὶ φυγαδεύειν· τὸ δ' αὐτὸ καὶ περὶ τὰς πόλεις καὶ τὰ ἔθνη ποιοῦσιν οἱ κύριοι τῆς δυνάμεως, οἷον Ἀθηναῖοι μὲν περὶ Σαμίους καὶ Χίους καὶ Λεσβίους (ἐπεὶ γὰρ θᾶττον ἐγκρατῶς ἔσχον τὴν ἀρχήν, ἐταπείνωσαν αὐτοὺς παρὰ τὰς συνθήκας), ὁ δὲ Περσῶν βασιλεὺς Μήδους καὶ Βαβυλωνίους καὶ τῶν ἄλλων τοὺς πεφρονηματισμένους διὰ τὸ γενέσθαι ποτ' ἐπ' ἀρχῆς ἐπέκοπτε πολλάκις. Τὸ δὲ πρόβλημα καθόλου περὶ πάσας ἐστὶ τὰς πολι- 5 τείας, καὶ τὰς ὀρθάς· αἱ μὲν γὰρ παρεκβεβηκυῖαι πρὸς τὸ ἴδιον ἀποσκοποῦσαι τοῦτο δρῶσιν, οὐ μὴν ἀλλὰ περὶ τὰς τὸ κοινὸν ἀγαθὸν ἐπισκοπούσας τὸν αὐτὸν ἔχει τρόπον. Δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν· οὔτε γὰρ γραφεὺς ἐάσειεν ἂν τὸν ὑπερβάλλοντα πόδα τῆς συμμετρίας ἔχειν τὸ ζῷον, οὐδ' εἰ διαφέροι τὸ κάλλος, οὔτε ναυπηγὸς πρύμναν ἢ τῶν ἄλλων τι μορίων τῶν τῆς νεώς, οὐδὲ δὴ

τήρων ἠρνεῖτο ἡ Ἀργὼ νὰ τὸν μεταφέρῃ μετὰ τῶν ἄλλων. Συνεπῶς ὀφείλομεν νὰ δεχθῶμεν ὅτι δὲν εἶναι ὀρθὴ ἡ ἐπίκρισις τῶν ἐπὶ τῇ τοιαύτῃ ἐνεργείᾳ κατακρινόντων τὸ τυραννικὸν πολίτευμα καὶ μάλιστα τὴν δοθεῖσαν συμβουλὴν ὑπὸ τοῦ Περιάνδρου εἰς τὸν Θρασύβουλον. Λέγεται δηλαδὴ ὅτι πρὸς τὸν ἀποσταλέντα παρὰ τοῦ Θρασυβούλου πρεσβευτὴν ὅπως ζητήσῃ συμβουλὴν περὶ τοῦ τρόπου τῆς διοικήσεως τῶν πολιτῶν πρὸς διατήρησιν τοῦ τυραννικοῦ ἀξιώματος, ὁ Περίανδρος ρητὴν μὲν ἀπάντησιν οὐδεμίαν ἔδωσε, ὁδηγήσας ὅμως αὐτὸν εἰς ἐσπαρμένον ἀγρὸν ἰσοπέδωνε τὴν ἐπιφάνειαν τοῦ σπαρτοῦ ἀποκόπτων τὰς κορυφὰς τῶν ὑπερεχόντων σταχύων. Ὅθεν, ἀγνοοῦντος μὲν τοῦ πρεσβευτοῦ τὸν λόγον τοῦ γενομένου, ἀναγγείλαντος ὅμως τὸ συμβάν, συνεπέρανεν ὁ Θρασύβουλος ὅτι διὰ τῆς τοιαύτης πράξεως ὁ Περίανδρος ὑπεδείκνυεν εἰς αὐτὸν ὅτι πρέπει νὰ φονεύῃ τοὺς ὑπερέχοντας ὑπηκόους του. Τοῦτο λοιπὸν τὸ μέτρον 4
ὄχι μόνον εἰς τοὺς τυράννους συμφέρει, οὐδὲ μόνον οἱ τύραννοι μεταχειρίζονται τοῦτο, ἀλλὰ καὶ εἰς τὰ ὀλιγαρχικὰ καὶ δημοκρατικὰ πολιτεύματα ἐπικρατεῖ ὡς μέσον ἀμύνης· διότι ὁ ὀστρακισμὸς τὴν αὐτὴν δύναμιν ἔχει, περικόπτων τρόπον τινὰ καὶ φυγαδεύων τοὺς ὑπερέχοντας. Τὸ αὐτὸ δὲ μέσον μετέρχονται καὶ κατὰ τῶν πόλεων καὶ τῶν ἐθνῶν οἱ καθιστάμενοι κυρίαρχοι τῆς πολεμικῆς δυνάμεως τούτων· οἷον οἱ μὲν Ἀθηναῖοι κατὰ τῶν Σαμίων καὶ Χίων καὶ τῶν Λεσβίων, τοὺς ὁποίους, εὐθὺς ὡς ἰσχυροποιηθέντες ἐξησφάλισαν τὴν ἡγεμονίαν, ἐταπείνωσαν παρὰ τὰς συνθήκας· δι᾽ ὁμοίας δὲ καὶ ὁ βασιλεὺς τῶν Περσῶν μεθόδου ἐκωλόβωσε τὴν δύναμιν τῶν Μήδων καὶ τῶν Βαβυλωνίων καὶ πάντων τῶν ἄλλων, ὅσοι ἦσαν ἔμπλεοι γενναίου φρονήματος, ἐπειδὴ ὑπῆρξάν ποτε καὶ αὐτοὶ ἡγεμόνες. Τὸ μέτρον 5
τοῦτο τῆς ἀμύνης εἰς πάντα, καὶ εἰς αὐτὰ ἀκόμη τὰ ὀρθὰ πολιτεύματα, εἶναι ἐν χρήσει· καὶ τὰ μὲν παρεκβατικὰ χρησιμοποιοῦν τοῦτο πρὸς τὸ ἴδιον τῶν κρατούντων συμφέρον, τὸ αὐτὸ ὅμως συμβαίνει καὶ εἰς τὰ πολιτεύματα, τῶν ὁποίων σκοπὸς εἶναι τὸ κοινὸν ἀγαθόν. Σαφῆ δὲ ἀπόδειξιν τούτου παρέχει ἐκτὸς ἄλλων καὶ τὸ παράδειγμα τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν· διότι οὔτε ζωγράφος παρὰ τοὺς κανόνας τῆς συμμετρίας πειρᾶται νὰ ζωγραφίσῃ εἰκόνα ζῶντος ἀνθρώπου ἔχοντος μέλος τι τοῦ σώματος καθ᾽ ὑπερβολὴν μέγα, ἔστω καὶ ἂν τοῦτο εἶναι ἐξαιρετικῶς ὡραῖον, οὔτε ναυπηγὸς νὰ ναυπηγῇ ἀσύμμετρον τὴν πρύμναν ἢ

χοροδιδάσκαλος τὸν μεῖζον καὶ κάλλιον τοῦ παντὸς χοροῦ
φθεγγόμενον ἐάσει συγχορεύειν. Ὥστε διὰ τοῦτο μὲν οὐδὲν 6
κωλύει τοὺς μονάρχους συμφωνεῖν ταῖς πόλεσιν, εἰ τῆς οἰ-
κείας ἀρχῆς ὠφελίμου ταῖς πόλεσιν οὔσης τοῦτο δρῶσιν. Διὸ
κατὰ τὰς ὁμολογουμένας ὑπεροχὰς ἔχει τι δίκαιον πολιτικὸν
ὁ λόγος ὁ περὶ τὸν ὀστρακισμόν. Βέλτιον μὲν οὖν τὸν νομο-
θέτην ἐξ ἀρχῆς οὕτω συστῆσαι τὴν πολιτείαν ὥστε μὴ δεῖ-
σθαι τοιαύτης ἰατρείας· δεύτερος δὲ πλοῦς, ἂν συμβῇ, πει-
ρᾶσθαι τοιούτῳ τινὶ διορθώματι διορθοῦν. Ὅπερ οὐκ ἐγί-
γνετο περὶ τὰς πόλεις, οὐ γὰρ ἔβλεπον πρὸς τὸ τῆς πολιτείας
τῆς οἰκείας συμφέρον, ἀλλὰ στασιαστικῶς ἐχρῶντο τοῖς
ὀστρακισμοῖς. Ἐν μὲν οὖν ταῖς παρεκβεβηκυίαις πολιτείαις
ὅτι μὲν ἰδίᾳ συμφέρει καὶ δίκαιόν ἐστι φανερόν, ἴσως δὲ
καὶ ὅτι οὐχ[a] ἁπλῶς δίκαιον, καὶ τοῦτο φανερόν· ἀλλ' ἐπὶ τῆς 7
ἀρίστης πολιτείας ἔχει πολλὴν ἀπορίαν, οὐ κατὰ τῶν ἄλλων
ἀγαθῶν τὴν ὑπεροχήν, οἷον ἰσχύος καὶ πλούτου καὶ πολυ-
φιλίας, ἀλλ' ἄν τις γένηται διαφέρων κατ' ἀρετήν, τί χρὴ
ποιεῖν; Οὐ γὰρ δὴ φαῖεν ἂν δεῖν ἐκβάλλειν καὶ μεθιστάναι
τὸν τοιοῦτον· ἀλλὰ μὴν οὐδ' ἄρχειν γε τοῦ τοιούτου, παρα-
πλήσιον γὰρ κἂν εἰ τοῦ Διὸς ἄρχειν ἀξιοῖεν, μερίζοντες τὰς
ἀρχάς. Λείπεται τοίνυν, ὅπερ ἔοικε πεφυκέναι, πείθεσθαι
τῷ τοιούτῳ πάντας ἀσμένως, ὥστε βασιλέας εἶναι τοὺς τοι-
ούτους ἀϊδίους ἐν ταῖς πόλεσιν.

**14.** Ἴσως δὲ καλῶς ἔχει μετὰ τοὺς εἰρημένους λόγους IX
μεταβῆναι καὶ σκέψασθαι περὶ βασιλείας· φαμὲν γὰρ τῶν

---

[a] [οὐχ] Bernays

---

ΚΕΦ. IX ΠΕΡΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΕΙΔΩΝ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ.

ἄλλο τι μέρος τοῦ πλοίου, οὔτε τέλος ὁ μουσικοδιδάσκαλος νομίζει ὀρθὸν νὰ ἐπιτρέψῃ νὰ μετέχῃ τοῦ χοροῦ ὁ καθ' ὑπερβολὴν μεγαλοφωνότερος καὶ καλλιφωνότερος τῶν ἄλλων χορευτῶν. Συνεπῶς διὰ τοῦτον μὲν τὸν λόγον οὐδὲν 6 ἐμποδίζει τοὺς μονάρχας νὰ εἶναι σύμφωνοι πρὸς τὰς μὴ μοναρχουμένας πόλεις, ἐὰν μεταχειρίζωνται τὸ ἀμυντικὸν τοῦτο μέσον, ἐπειδὴ εἰλικρινῶς πιστεύουν ὅτι τὸ μοναρχικὸν πολίτευμα εἶναι ὠφέλιμον εἰς τὰς πόλεις των. Διὸ καὶ τὸ προβαλλόμενον ὑπὲρ τοῦ ὀστρακισμοῦ ἐπιχείρημα περιέχει πολιτικόν τι δίκαιον κατὰ τῶν ὁμολογουμένως ὑπερεχόντων ἀνδρῶν. Πάντως ὅμως θὰ ἦτο προτιμότερον ἐὰν ὁ νομοθέτης συνέτασσεν εὐθὺς ἐξ ἀρχῆς κατὰ τοιοῦτον τρόπον τὸ πολίτευμα, ὥστε νὰ μὴ παρίσταται ἀνάγκη χρήσεως τοιούτου θεραπευτικοῦ μέσου· ἐὰν δὲ παρὰ πᾶν μέτρον προνοίας συμβῇ νὰ ἀναφυῇ τοιοῦτος ἀνήρ, τότε πλέον ἐπιτρέπεται ἡ χρῆσις τοιούτου τινὸς διορθωτικοῦ μέσου, ὅπως ἐπιτευχθῇ ἡ διόρθωσις τῆς ἀσυμμετρίας. Τοῦ μέσου ὅμως τούτου δὲν ἐγίνετο ἡ προσήκουσα ὀρθὴ παρὰ τῶν πόλεων χρῆσις· διότι μετεχειρίζοντο τοὺς ὀστρακισμοὺς οὐχὶ πρὸς τὸ συμφέρον τοῦ οἰκείου πολιτεύματος, ἀλλὰ πρὸς ἴδιον κομματικὸν ὄφελος. Οὕτω φανερὸν καθίσταται ὅτι εἰς τὰ παρεκβατικὰ εἰδικῶς πολιτεύματα τὸ μέτρον τοῦτο εἶναι ὠφέλιμον καὶ δίκαιον, δὲν εἶναι ὅμως καὶ γενικῶς αὐτὸ ἐξ ἴσου δίκαιον. Πολλὴν ὅμως ἀπορίαν παρέχει 7 καὶ τοῦτο: τί πρέπει νὰ γίνῃ, ἂν ἐν τῷ ἀρίστῳ πολιτεύματι ἀναφανῇ ἀνήρ τις ὑπερέχων οὐχὶ κατὰ τὰ ἄλλα ἀγαθά, κατὰ τὴν ἰσχὺν τουτέστιν ἢ κατὰ τὸν πλοῦτον ἢ κατὰ τὴν πολυφιλίαν, ἀλλὰ κατὰ τὴν ἀρετήν; Διότι οὐδεὶς βεβαίως θὰ ἰσχυρισθῇ ὅτι πρέπει τὸν τοιοῦτον νὰ ἐξορίσουν καὶ νὰ ἀπομακρύνουν τῆς πόλεως, ἀλλ' οὐδ' ὅτι ἁρμόζει οἱ ἄλλοι οἱ κατώτεροί του νὰ ἄρχωσι τοῦ τοιούτου· διότι μία τοιαύτη ἀξίωσις δὲν θὰ παρήλλασσεν ἐκείνης καθ' ἣν μερίζοντες τὰ πολιτικὰ ἀξιώματα θὰ ἀπῄτουν νὰ ἄρχωσι τοῦ Διός. Ὑπολείπεται λοιπόν, ὅπερ καὶ πρὸς τὸ φυσικὸν ἄλλωστε δίκαιον συμβιβάζεται, νὰ πείθωνται πάντοτε προθύμως εἰς τὸν τοιοῦτον, ὥστε ἰσόβιοι βασιλεῖς θὰ εἶναι αὐτοὶ εἰς τὰς πόλεις.

14 ΚΕΦ. IX Κατόπιν τῶν ἀνωτέρω εὔκαιρον εἶναι 1 ἴσως νὰ μεταβῶμεν ἤδη εἰς τὴν ἐξέτασιν τῆς βασιλείας, δεδομένου ὅτι παραδεχόμεθα ταύτην ὡς ἓν τῶν ὀρ-

*ὀρθῶν πολιτειῶν μίαν εἶναι ταύτην. Σκεπτέον δὲ πότερον συμφέρει τῇ μελλούσῃ καλῶς οἰκήσεσθαι καὶ πόλει καὶ χώρᾳ βασιλεύεσθαι, ἢ οὔ, ἀλλ' ἄλλη τις πολιτεία μᾶλλον, ἢ τισὶ μὲν συμφέρει τισὶ δ' οὐ συμφέρει. Δεῖ δὲ πρῶτον διελέσθαι πότερον ἓν τὸ γένος ἐστὶν αὐτῆς ἢ πλείους ἔχει διαφο-*
**1285a** *ράς. Ῥᾴδιον δὴ τοῦτό γε καταμαθεῖν, ὅτι πλείω τε γένη πε-* 2
*ριέχει καὶ τῆς ἀρχῆς ὁ τρόπος ἐστὶν οὐχ εἷς πασῶν. Ἡ γὰρ ἐν τῇ Λακωνικῇ πολιτείᾳ δοκεῖ μὲν εἶναι βασιλεία μάλιστα τῶν κατὰ νόμον, οὐκ ἔστι δὲ κυρία πάντων, ἀλλ' ὅταν ἐξέλθῃ τὴν χώραν ἡγεμών ἐστι τῶν πρὸς τὸν πόλεμον, ἔτι δὲ τὰ πρὸς τοὺς θεοὺς ἀποδέδοται τοῖς βασιλεῦσιν. Αὕτη μὲν οὖν ἡ βασιλεία οἷον στρατηγία τις αὐτοκρατόρων καὶ ἀΐδιός ἐστιν· κτεῖναι γὰρ οὐ κύριος, εἰ μὴ [ἔν τινι βασιλείᾳ]* [a] *καθάπερ ἐπὶ τῶν ἀρχαίων ἐν ταῖς πολεμικαῖς ἐξόδοις ἐν χειρὸς νόμῳ· δηλοῖ δ' Ὅμηρος, ὁ γὰρ Ἀγαμέμνων κακῶς μὲν ἀκούων ἠνείχετο ἐν ταῖς ἐκκλησίαις, ἐξελθόντων δὲ καὶ κτεῖναι κύριος ἦν· λέγει γοῦν*

> *ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης . . .*
> *. . . οὔ οἱ*
> *ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς·*
> *πὰρ γὰρ ἐμοὶ θάνατος.*

*Ἓν μὲν οὖν τοῦτ' εἶδος βασιλείας, στρατηγία διὰ βίου, τού-* 3
*των δ' αἱ μὲν κατὰ γένος εἰσὶν αἱ δ' αἱρεταί· παρὰ ταύτην δ' ἄλλο μοναρχίας εἶδος, οἷαι παρ' ἐνίοις εἰσὶ βασιλεῖαι τῶν βαρβάρων. Ἔχουσι δ' αὗται τὴν δύναμιν πᾶσαι παραπλησίαν τυραννίσιν, εἰσὶ δὲ καὶ* [b] *κατὰ νόμον καὶ πατρικαί· διὰ*

---

[a] secl. Gifanius: *ἔν τινι ἐλάσει* Immisch
[b] *τυραννίσιν—καὶ* Susemihl

---

[1]) Ἰλιάς, II 391. Τὸ χωρίον δὲν εὑρίσκεται ὡς ἔχει ἐνταῦθα εἰς τὰς παραδοθείσας ἡμῖν ἐκδόσεις τοῦ Ὁμήρου.

θῶν πολιτευμάτων. Δύο δὲ εἶναι τὰ προκύπτοντα ζητήματα· πρῶτον, ἡ ἐπιθυμοῦσα νὰ κυβερνηθῇ καλῶς πόλις ἢ χώρα ἐπιτυγχάνει τοῦτο εὐκολώτερον διὰ τῆς βασιλείας, ἢ μήπως οἱονδήποτε ἄλλο πολίτευμα εἶναι πρὸς τοῦτο προσφορώτερον; Καὶ δεύτερον, εἶναι εὐάρμοστος πρὸς πάντας ἡ βασιλεία, ἢ συμβιβάζεται μὲν πρός τινας λαούς, πρὸς ἄλλους ὅμως δὲν συμβιβάζεται; Ἀλλὰ πρὸ τούτου δέον νὰ διευκρινήσωμεν ἐὰν ἡ βασιλεία εἶναι ἑνὸς ἢ πλειόνων εἰδῶν, διαφερόντων πρὸς ἄλληλα. Ἀλλ' εὔκολον εἶναι νὰ βε- 2
βαιωθῶμεν ἐξ αὐτῆς τῆς πραγματικότητος ὅτι ὑπάρχουν πλείονα εἴδη βασιλείας καὶ ὅτι ὁ χαρακτὴρ τῆς ἐξουσίας ἑκάστου εἴδους δὲν εἶναι εἷς καὶ ὁ αὐτός. Ἡ βασιλεία οὕτω τοῦ Λακωνικοῦ πολιτεύματος θεωρεῖται μὲν ὡς ὑπὲρ πάσας τὰς κατὰ συνταχτικοὺς νόμους ὑφισταμένας ὑπάρχουσα, ἀλλ' ἡ ἐξουσία αὐτῆς δὲν ἐπεκτείνεται γενικῶς ἐπὶ πάντων, ἐκτὸς ὅταν ὁ βασιλεὺς ἐξέλθῃ εἰς ὑπερόριον ἐκστρατείαν, ὁπότε πράγματι ὡς μονάρχης πάντα τὰ κατὰ τὸν πόλεμον διοικεῖ. Ἀπονέμονται προσέτι εἰς τοὺς βασιλεῖς τούτους πάντα τὰ διὰ τὴν λατρείαν τῶν θεῶν συνεπόμενα προνόμια. Συνεπῶς ἡ βασιλεία αὕτη εἶναι ὁμοία πρὸς τὴν αὐτοκρατορικὴν καὶ ἰσόβιον ἀρχιστρατηγίαν· οὐδὲν ὅμως δικαίωμα ἔχουν οἱ Λάκωνες βασιλεῖς νὰ θανατώσουν πολίτην, ἀλλὰ μόνον κατὰ τὰς ἐκστρατείας, ὅτε, ὅπως οἱ ἀρχαῖοι βασιλεῖς, ἔχουν καὶ αὐτοὶ νομίμως τὸ δικαίωμα τοῦτο. Μαρτυρεῖ δὲ τοῦτο ὁ Ὅμηρος· διότι ὁ Ἀγαμέμνων ἠνείχετο μὲν νὰ κακολογῆται εἰς τὰς συνελεύσεις τοῦ λαοῦ, ὁσάκις ὅμως ὁ στρατὸς ἤθελεν ἐξέλθῃ εἰς μάχην, εἶχεν ἐκεῖνος τὸ δικαίωμα νὰ φονεύῃ πάντα ἀπειθοῦντα εἰς τὰς διαταγάς του, ὡς ἐμφαίνεται ἐκ τῶν ἑξῆς λόγων του,

κι' ὅποιον θὰ νιώσω ἐγὼ μακρυιὰ νὰ κάθεται ἀπ' τὴ
μάχη [δίπλα στὰ πλοῖα τὰ βαθουλά], πολὺ ἀρκετὸ
θὰ τοῦ εἶναι ἂν δὲν τὸν φάνε τὰ σκυλλιὰ καὶ τὰ
ὄρνια τοῦ θανάτου ἐγὼ ἔχω τὸ δικαίωμα [1]

Αὕτη λοιπὸν ἡ ἰσόβιος στρατηγία εἶναι ἓν εἶδος βασι- 3
λείας. Αἱ τοιαῦται βασιλεῖαι ἐνιαχοῦ μὲν περιέρχονται κληρονομικῶς εἰς ὡρισμένα γένη, ἀλλαχοῦ δὲ οἱ τοιοῦτοι βασιλεῖς καθίστανται κατ' ἐκλογήν. Ἄλλο ἐκτὸς τούτου εἶδος μοναρχίας εἶναι αἱ παρά τισι τῶν βαρβάρων βασιλεῖαι. Ἡ δύναμις δὲ τῶν βασιλέων τούτων εἶναι μὲν παρεμφερὴς πρὸς τὴν τῶν τυράννων, διαφέρει ὅμως αὐτῆς κατὰ τὸ ὅτι ὑφίσταται αὕτη κατὰ νόμον τοῦ πολιτεύματος καὶ εἶναι

γὰρ τὸ δουλικώτεροι εἶναι τὰ ἤθη φύσει οἱ μὲν βάρβαροι
τῶν Ἑλλήνων οἱ δὲ περὶ τὴν Ἀσίαν τῶν περὶ τὴν Εὐρώ-
πην, ὑπομένουσι τὴν δεσποτικὴν ἀρχὴν οὐδὲν δυσχεραίνον-
τες. Τυραννικαὶ μὲν οὖν διὰ τὸ τοιοῦτόν εἰσιν, ἀσφαλεῖς δὲ
διὰ τὸ πάτριαι καὶ κατὰ νόμον εἶναι. Καὶ ἡ φυλακὴ δὲ βα- 4
σιλικὴ καὶ οὐ τυραννικὴ διὰ τὴν αὐτὴν αἰτίαν· οἱ γὰρ πο-
λῖται φυλάττουσιν ὅπλοις τοῖς βασιλεῖς, τοὺς δὲ τυράννους
ξενικόν· οἱ μὲν γὰρ κατὰ νόμον καὶ ἑκόντων οἱ δ' ἀκόντων
ἄρχουσιν, ὥσθ' οἱ μὲν παρὰ τῶν πολιτῶν οἱ δ' ἐπὶ τοὺς πο-
λίτας ἔχουσι τὴν φυλακήν. Δύο μὲν οὖν εἴδη ταῦτα μοναρ- 5
χίας· ἕτερον δ' ὅπερ ἦν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν, οὓς κα-
λοῦσιν αἰσυμνήτας. Ἔστι δὲ τοῦθ' ὡς ἁπλῶς εἰπεῖν αἱρετὴ
τυραννίς, διαφέρουσα δὲ τῆς βαρβαρικῆς οὐ τῷ μὴ κατὰ
νόμον ἀλλὰ τῷ μὴ πάτριος εἶναι μόνον. Ἦρχον δ' οἱ μὲν
διὰ βίου τὴν ἀρχὴν ταύτην, οἱ δὲ μέχρι τινῶν ὡρισμένων
χρόνων ἢ πράξεων, οἷον εἵλοντό ποτε Μιτυληναῖοι Πιττα-
κὸν πρὸς τοὺς φυγάδας ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ
Ἀλκαῖος ὁ ποιητής. Δηλοῖ δ' Ἀλκαῖος ὅτι τύραννον εἵλοντο 6
τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν· ἐπιτιμᾷ γὰρ ὅτι

τὸν κακοπάτριδα [a]
Πιττακὸν πόλιος [b] τᾶς ἀχόλω [c] καὶ βαρυδαίμονος
1285b ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀολλέες.

αὗται μὲν οὖν εἰσί τε καὶ ἦσαν διὰ μὲν τὸ δεσποτικαὶ εἶναι
τυραννικαί, [d] διὰ δὲ τὸ αἱρεταὶ καὶ ἑκόντων βασιλικαί· τέ- 7

---

[a] κακοπατρίδαν Wackernagel
[b] πόλιος Schneidewin: πόλεως χ'/φα
[c] διχόλω Schmidt
[d] τυραννικαὶ εἶναι δεσποτικαὶ χ'/φα

κληρονομική. Διότι φύσει ὄντες κατὰ τὰ ἤθη δουλικώτεροι
οἱ μὲν βάρβαροι τῶν Ἑλλήνων, οἱ δὲ Ἀσιᾶται τῶν Εὐρω-
παίων, ὑπομένουν ἀγογγύστως πᾶσαν δεσποτικὴν ἀρχήν.
Ἐκ τῆς αἰτίας λοιπὸν ταύτης αἱ βασιλεῖαι αὗται ἔχουν
τυραννικὸν χαρακτῆρα· εἶναι ὅμως ἀσφαλεῖς, ἐπειδὴ καὶ
κληρονομικαὶ καὶ νόμιμοι εἶναι. Τὴν ἀσφάλειαν τῶν μοναρ-
χιῶν τούτων ἐμφαίνει καὶ ἡ σωματοφυλακὴ αὐτῶν, ἥτις
δὲν εἶναι ὁμοία πρὸς τὴν τῶν τυράννων, ἀλλὰ πρὸς τὴν
προσήκουσαν εἰς βασιλεῖς· διότι τούτους μὲν περιφρουροῦν
πολῖται, τοὺς δὲ τυράννους ξένοι μισθοφόροι, ἐπειδὴ ἐκεῖ-
νοι μὲν νομίμως καὶ ἐπὶ ἑκόντων, οὗτοι δὲ ἐπὶ ἀκόντων ἄρ-
χουσι. Διὸ οἱ μὲν παρὰ τῶν πολιτῶν, οἱ δὲ κατὰ τῶν πο-
λιτῶν ἔχουν τὴν σωματοφυλακήν. Ταῦτα λοιπὸν εἶναι δύο
εἴδη τῆς μοναρχικῆς βασιλείας. Διάφορον τούτων εἶδος βασι- 5
λέων ἀναφυὲν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν εἶναι οἱ «αἰσυμνῆται»·
τοῦτο δὲ δύναται ἁπλούστερον νὰ κληθῇ «αἱρετὴ τυραν-
νίς» διαφέρει δὲ τῆς βαρβαρικῆς βασιλείας, οὐχὶ διότι δὲν
εἶναι καὶ αὐτὴ νόμιμος, ἀλλὰ μόνον διότι δὲν εἶναι κληρο-
νομική. Ἐκ τῶν αἰσυμνητῶν τούτων, ἄλλοι μὲν διετήρουν
ἰσοβίως τὴν ἀρχὴν ταύτην, ἄλλοι ἐπὶ ὡρισμένον τινὰ χρό-
νον, ἢ μέχρι τῆς ἀποπερατώσεως ὡρισμένων πολιτικῶν
ἐνεργειῶν· οὕτω ἐξέλεξαν ποτὲ αἰσυμνήτην οἱ Μυτιληναῖοι
τὸν Πιττακὸν πρὸς ματαίωσιν τῆς πραγματώσεως τῶν
σχεδίων τῶν πολιτικῶν ἐξορίστων, ὧν ἀρχηγοὶ εἶχον γίνει
ὁ Ἀντιμενίδης καὶ ὁ ποιητὴς Ἀλκαῖος [1].

Τὸ ὅτι ἐξέλεξαν τὸν Πιττακὸν τύραννον (οἱ Μυτιλη- 6
ναῖοι) μαρτυρεῖ ὁ Ἀλκαῖος ἔν τινι τῶν σκολιῶν αὐτοῦ
ποιημάτων· κατακρίνει δηλαδὴ ἐν αὐτῷ ὅτι «τὸν Πιττακὸ
ποὺ ἀπὸ πατέρα ἦταν ἀσόγιαστος, μὲ μιὰ φωνὴ καὶ ἐπι-
δοκιμασία τὸ πλῆθος τὸν ἔκαμε τύραννο τῆς ἄκακης καὶ
βαριόμοιρης πολιτείας». Τοιαῦται λοιπὸν εἶναι καὶ ἦσαν
αἱ αἰσυμνητεῖαι, ὁμοιάζουσαι πρὸς μὲν τὴν τυραννίαν ἕνε-
κεν τοῦ δεσποτικοῦ χαρακτῆρος των, πρὸς δὲ τὴν βασι-
λείαν διότι εἶναι αἱρεταὶ καὶ ἀσκοῦνται ἐπὶ ἑκόντων. Τέ- 7

[1]) Βλέπε περὶ ὅλων τούτων εἰς τὴν εἰσαγωγὴν τῆς παρ' ἡμῶν ἐκδόσεως τοῦ Ἀλκαίου ἐν τῇ παρούσῃ σειρᾷ, ἀριθ. 1.

ταρτον δ' εἶδος μοναρχίας βασιλικῆς αἱ κατὰ τοὺς ἡρωϊκοὺς
χρόνους ἑκούσιαί τε καὶ πάτριαι γιγνόμεναι κατὰ νόμον. Διὰ
γὰρ τὸ τοὺς πρώτους γενέσθαι τοῦ πλήθους εὐεργέτας κατὰ
τέχνας ἢ πόλεμον ἢ διὰ τὸ συναγαγεῖν ἢ πορίσαι χώραν, ἐγί-
γνοντο βασιλεῖς ἑκόντων καὶ τοῖς παραλαμβάνουσι πάτριοι.
Κύριοι δ' ἦσαν τῆς τε κατὰ πόλεμον ἡγεμονίας καὶ τῶν θυ-
σιῶν ὅσαι μὴ ἱερατικαί, καὶ πρὸς τούτοις τὰς δίκας ἔκρι-
νον· τοῦτο δ' ἐποίουν οἱ μὲν οὐκ ὀμνύοντες οἱ δ' ὀμνύοντες,
ὁ δ' ὅρκος ἦν τοῦ σκήπτρου ἐπανάτασις. Οἱ μὲν οὖν ἐπὶ τῶν 8
ἀρχαίων χρόνων καὶ τὰ κατὰ πόλιν καὶ τὰ ἔνδημα καὶ τὰ
ὑπερόρια συνεχῶς ἦρχον· ὕστερον δὲ τὰ μὲν αὐτῶν παριέν-
των τῶν βασιλέων τὰ δὲ τῶν ὄχλων παραιρουμένων, ἐν μὲν
ταῖς ἄλλαις πόλεσι θυσίαι κατελείφθησαν τοῖς βασιλεῦσι μό-
νον, ὅπου δ' ἄξιον εἰπεῖν εἶναι βασιλείαν, ἐν τοῖς ὑπερο-
ρίοις τῶν πολεμικῶν τὴν ἡγεμονίαν μόνον εἶχον.

14b. Βασιλείας μὲν οὖν εἴδη ταῦτα, τέτταρα τὸν ἀρι- X
θμόν, μία μὲν ἡ περὶ τοὺς ἡρωικοὺς χρόνους (αὕτη δ' ἦν
ἑκόντων μέν, ἐπί τισι δ' ὡρισμένοις· στρατηγὸς γὰρ ἦν καὶ
δικαστὴς ὁ βασιλεὺς καὶ τῶν πρὸς τοὺς θεοὺς κύριος), δευ-
τέρα δ' ἡ βαρβαρική (αὕτη δ' ἐστὶν ἐκ γένους ἀρχὴ δεσπο-
τικὴ κατὰ νόμον) τρίτη δ' ἣν αἰσυμνητείαν προσαγορεύου-
σιν (αὕτη δ' ἐστὶν αἱρετὴ τυραννίς), τετάρτη δ' ἡ Λακωνικὴ
τούτων (αὕτη δ' ἐστὶν ὡς εἰπεῖν ἁπλῶς στρατηγία κατὰ γέ-
νος ἀΐδιος). Αὗται μὲν οὖν τοῦτον τὸν τρόπον διαφέρουσιν
ἀλλήλων. Πέμπτον δ' εἶδος βασιλείας ὅταν ᾖ πάντων κύριος 2
εἷς ὢν ὥσπερ ἕκαστον ἔθνος καὶ πόλις ἑκάστη τῶν κοινῶν.

---

ΚΕΦ. Χ ΣΥΜΠΤΥΞΙΣ ΤΩΝ ΕΙΔΩΝ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ: ΣΥΝΤΑΓΜΑΤΙΚΗ ΜΟΝΑΡΧΙΑ.

ταρτον εἶδος μοναρχίας βασιλικῆς εἶναι αἱ τῶν ἡρωικῶν
χρόνων βασιλεῖαι, αἵτινες νομίμως, ὡς λαμβάνουσαι τὴν γέ-
νεσιν παρ' ἑκόντων τῶν ὑπηκόων, ἦσαν καὶ κληρονομικαί.
Ὁ λόγος δὲ τῆς καταστάσεως τῶν τοιούτων βασιλειῶν εἶ-
ναι ὅτι οἱ πρῶτοι πρόγονοι τῶν βασιλέων ἐκείνων εὐηργέ-
τησαν τὸν λαόν, εἴτε διότι προήγαγον τὰς τέχνας, εἴτε
διότι διεκρίθησαν ἐν πολέμῳ, εἴτε διότι συνήγαγον εἰς
μίαν πόλιν τοὺς κατὰ κώμας οἰκοῦντας πρότερον κατοί-
κους, εἴτε διότι ἐπηύξησαν τὴν χώραν διὰ τῆς εἰς αὐτὴν
προσθήκης ἀλλοτρίου ἐδάφους. Τὰ κυριαρχικὰ δὲ προνόμια
αὐτῶν συνίσταντο εἰς τὴν ἀρχιστρατηγίαν ἐν πολέμῳ, εἰς
τὰς πρὸς τοὺς θεοὺς θυσίας, ὅταν αὗται δὲν ὑπήγοντο εἰς
εἰδικοὺς ἱερεῖς, πρὸς τούτοις δὲ καὶ εἰς τὴν κρίσιν τῶν δι-
κῶν· ἐξετέλουν δὲ τὸ ἔργον τοῦ δικαστοῦ οἱ μὲν ἄνευ ὅρ-
κου, οἱ δὲ ὁρκιζόμενοι· σημεῖον δὲ τοῦ ὅρκου ἦτο ἡ ἀνά-
τασις τοῦ σκήπτρου. Τὰ προνόμια λοιπὸν τῶν βασιλέων 8
τούτων ἠσκοῦντο ἀδιαλείπτως κατὰ τοὺς ἀρχαίους χρό-
νους καὶ εἰς τὴν πόλιν, καὶ εἰς τὰς ἀγροτικὰς περιφερείας,
καθὼς καὶ κατὰ τὰς ὑπερορίους ἐκστρατείας. Ἀργότερον
δέ, ἐπειδὴ ἄλλα μὲν ἐκ τῶν προνομίων τούτων παρεχώρουν
οἰκειοθελῶς εἰς τοὺς λαούς των οἱ βασιλεῖς, ἄλλα δὲ οἱ
λαοὶ ἀφῄρουν παρὰ τῶν βασιλέων, εἰς μὲν τὰς ἄλλας πό-
λεις μόνον αἱ πατροπαράδοτοι θυσίαι ἀπέμειναν εἰς τοὺς
βασιλεῖς· ὅπου δὲ διετηρήθησαν βασιλεῖαι ἄξιαι ὁπωσδή-
ποτε τοῦ ὀνόματος, ἐκεῖ μόνον τὴν ἀρχιστρατηγίαν εἰς
τὰς ὑπερορίους ἐκστρατείας διετήρησαν οἱ βασιλεῖς.

14b ΚΕΦ. X. Ταῦτα λοιπὸν εἶναι τὰ εἴδη τῆς βασι- 1
λείας, τέσσαρα τὸν ἀριθμόν· πρώτη ἡ κατὰ τοὺς
ἡρωικοὺς χρόνους ἀκμάσασα· (αὕτη δὲ ἠσκεῖτο ἐπὶ ἑκόν-
των μὲν καὶ μὲ ὡρισμένα τινὰ προνόμια, διότι ὁ βασιλεὺς
ἦτο καὶ δικαστὴς καὶ ὁ μόνος ἁρμόδιος ὅπως τελῇ τὰς
πρὸς τοὺς θεοὺς θυσίας)· δευτέρα δὲ ἡ βαρβαρική (αὕτη δὲ
εἶναι κληρονομικὴ ἀρχὴ δεσποτικὴ καὶ κατὰ νόμον)· τρί-
τη δὲ ἐκείνη τὴν ὁποίαν ὀνομάζουν αἰσυμνητείαν (εἶναι δὲ
αὕτη αἱρετὴ τυραννίς)· τετάρτη δὲ τούτων ἡ Λακωνική
(αὕτη δὲ εἶναι, οὕτως εἰπεῖν, ἁπλῶς κληρονομικὴ στρατη-
γία ἰσόβιος). Καὶ ταῦτα λοιπὸν εἶναι τὰ διακριτικὰ γνωρί-
σματα τῶν τεσσάρων τούτων εἰδῶν τῆς βασιλείας. Πέμ- 2
πτον δὲ εἶδος βασιλείας εἶναι ἐκεῖνο, καθ' ὃ εἷς μόνον ἀνὴρ
ἔχει κυρίαρχον ἐπὶ πάντων ἐξουσίαν, οἵα εἶναι ἡ συνολικὴ

τεταγμένη κατὰ τὴν οἰκονομικήν· ὥσπερ γὰρ ἡ οἰκονομικὴ
βασιλεία τις οἰκίας ἐστίν, οὕτως ἡ παμβασιλεία[a] πόλεως
καὶ ἔθνους ἑνὸς ἢ πλειόνων οἰκονομία. **15**. Σχεδὸν δὴ
δύο ἐστὶν ὡς εἰπεῖν εἴδη βασιλείας περὶ ὧν σκεπτέον, αὕτη
τε καὶ ἡ Λακωνική. Τῶν γὰρ ἄλλων αἱ πολλαὶ μεταξὺ τού-
των εἰσίν· ἐλαττόνων μὲν γὰρ κύριοι τῆς παμβασιλείας, πλειό-
νων δ' εἰσὶ τῆς Λακωνικῆς. Ὥστε τὸ σκέμμα σχεδὸν περὶ
δυοῖν ἐστίν, ἓν μὲν πότερον συμφέρει ταῖς πόλεσι στρατηγὸν
ἀΐδιον εἶναι, καὶ τοῦτον ἢ κατὰ γένος ἢ κατὰ μέρος,[b] ἢ οὐ
**1286a** συμφέρει, ἓν δὲ πότερον ἕνα συμφέρει κύριον εἶναι πάντων
ἢ οὐ συμφέρει. Τὸ μὲν οὖν περὶ τῆς τοιαύτης στρατηγίας 3
ἐπισκοπεῖν νόμων ἔχει μᾶλλον εἶδος ἢ πολιτείας (ἐν ἁπά-
σαις γὰρ ἐνδέχεται γίγνεσθαι τοῦτο ταῖς πολιτείαις), ὥστ'
ἀφείσθω τὴν πρώτην· ὁ δὲ λοιπὸς τρόπος τῆς βασιλείας πο-
λιτείας εἶδός ἐστιν, ὥστε περὶ τούτου δεῖ θεωρῆσαι καὶ τὰς
ἀπορίας ἐπιδραμεῖν τὰς ἐνούσας. Ἀρχὴ δ' ἐστὶ τῆς ζητή-
σεως αὕτη, πότερον συμφέρει μᾶλλον ὑπὸ τοῦ ἀρίστου ἀν-
δρὸς ἄρχεσθαι ἢ ὑπὸ τῶν ἀρίστων νόμων. Δοκοῦσι δὴ τοῖς 4
νομίζουσι συμφέρειν βασιλεύεσθαι τὸ καθόλου μόνον οἱ νό-
μοι λέγειν ἀλλ' οὐ πρὸς τὰ προσπίπτοντα ἐπιτάττειν ὥστ'
ἐν ὁποιαοῦν τέχνῃ τὸ κατὰ γράμματ' ἄρχειν ἠλίθιον (καὶ [c]
ἐν Αἰγύπτῳ μετὰ τὴν τετρήμερον κινεῖν ἔξεστι τοῖς ἰατροῖς,
ἐὰν δὲ πρότερον, ἐπὶ τῷ αὐτοῦ κινδύνῳ)· φανερὸν τοίνυν
ὡς οὐκ ἔστιν ἡ κατὰ γράμματα καὶ νόμους ἀρίστη πολι-
τεία διὰ τὴν αὐτὴν αἰτίαν. Ἀλλὰ μὴν κἀκεῖνον δεῖ ὑπάρ-
χειν τὸν λόγον τὸν καθόλου τοῖς ἄρχουσιν. Κρεῖττον δ' ᾧ μὴ

---

[a] παμβασιλεία Susemihl (cf. 36) : βασιλεία χ'/φα
[b] μέρος : αἵρεσιν (cf. a 16) ἄλλα χ'/φα
[c] καί πως, καὶ ὡς μερικὰ χ'/φα (ἠλίθιόν πως καὶ ? Richards)

ἐπὶ τῶν κοινῶν ἐξουσία, τὴν ὁποίαν ἔχει ἕκαστον ἔθνος καὶ ἑκάστη πόλις—ἐκτεινομένην ἐπὶ πάσης τῆς δημοσίας οἰκονομίας. Διότι ὅπως ἀκριβῶς ἡ οἰκονομικὴ ἐξουσία τοῦ οἰκοδεσπότου εἶναι εἶδος τι βασιλείας τῆς οἰκίας, οὕτω καὶ ἡ ἀπόλυτος μοναρχία εἶναι οἰκοδιοίκησις πόλεως καὶ ἔθνους ἑνὸς ἢ πλειόνων.

15. Γενικῶς ὅμως δύο σχεδὸν εἴδη βασιλείας ὑπάρχουν, περὶ τῶν ὁποίων ὀφείλομεν νὰ πραγματευθῶμεν, τὸ εἶδος αὐτὸ καὶ ἡ Λακωνική· διότι αἱ ἄλλαι μεταξὺ τούτων κατὰ τὸ πλεῖστον περιλαμβάνονται ὡς ἐνδιάμεσοι τύποι, ἀφοῦ αἱ μὲν ἔχουν ὀλιγώτερα τῆς παμβασιλείας, αἱ δὲ περισσότερα τῆς Λακωνικῆς προνόμια. Ὥστε τὸ πρόβλημα εὑρίσκεται εἰς δύο σχεδὸν σημεῖα: πρῶτον μὲν ἐὰν συμφέρῃ εἰς τὰς πόλεις νὰ ὑπάρχῃ στρατηγὸς ἰσόβιος καὶ ἐὰν ναί, ἐὰν πρέπῃ τὸ ἀξίωμα τοῦτο νὰ ἀπονέμηται κατὰ γένος ἢ κατὰ τάξιν, ἢ ἐὰν δὲν συμφέρῃ· καὶ δεύτερον ἐὰν συμφέρῃ ἢ δὲν συμφέρῃ νὰ ἔχῃ τις ἀπόλυτον ἐπὶ πάντων ἐξουσίαν. Καὶ 3
ἡ μὲν προμνημονευθεῖσα στρατηγία εἶναι μᾶλλον νόμου παρὰ πολιτεύματος μορφὴ (διότι ἐνδέχεται ὁ θεσμὸς οὗτος εἰς πάντα νὰ ὑφίσταται τὰ πολιτεύματα), καὶ συνεπῶς ἂς ἀφήσωμεν τὸ πρῶτον ἐρώτημα. Ὁ χαρακτὴρ ὅμως τῆς ἄλλης βασιλείας εἶναι εἶδος πολιτεύματος, ὥστε περὶ τούτου δέον νὰ πραγματευθῶμεν καὶ τὰ συναφῆ προβλήματα νὰ ἐρευνήσωμεν. Ὡς ἀρχὴ δὲ τῆς ἐρεύνης ταύτης ἂς τεθῇ, τὸ ζήτημα τί συμφέρει μᾶλλον, ὑπὸ τοῦ ἀρίστου ἀνδρὸς ἢ ὑπὸ τῶν ἀρίστων νόμων νὰ κυβερνᾶται ἡ πόλις; Οἱ φρο- 4
νοῦντες ὅτι εἶναι ὠφέλιμον νὰ κυβερνᾶται ἡ πόλις ὑπὸ βασιλέως ὁρμῶνται ἐκ τῆς γνώμης ὅτι οἱ νόμοι γενικῶς μόνον ὁμιλοῦν καὶ δὲν ἀποφαίνονται ἐπιτακτικῶς ἐπὶ τῶν ἀπροβλέπτων περιστάσεων· γενικώτερον δὲ εἶναι ἠλίθιον νὰ θέλῃ νὰ ὑποβάλλῃ τις μίαν οἱανδήποτε τέχνην ὑπὸ τὸ κράτος γραπτῶν κανόνων (ὡς ἐν Αἰγύπτῳ ἔνθα οἱ ἰατροὶ ἐπιτρέπεται μόνον μετὰ τετραήμερον ἀπὸ τῆς ἐμφανίσεως τῆς νόσου νὰ δίδουν φάρμακα, ἐὰν δὲ δώσωσιν ἐνωρίτερον, θὰ εἶναι αὐτοὶ ὑπεύθυνοι διὰ πάντα κίνδυνον τοῦ ἀσθενοῦς)· —ἀλλὰ φανερὸν λοιπὸν εἶναι ὅτι δὲν εἶναι ἄριστον πολίτευμα τὸ λειτουργοῦν κατὰ γραπτοὺς κανονισμοὺς καὶ νόμους. Ἀλλ' ὅμως καὶ τὴν καθολικότητα ἐκείνην τοῦ λόγου τὴν ἀπαντῶσαν παρὰ τοῖς νόμοις δέον καὶ οἱ ἄρχοντες νὰ ἔχουν· διότι αὕτη εἶναι μᾶλλον ἀμερόληπτος καὶ προσήκουσα εἰς τὸν ἀπὸ πάσης ἐμπαθείας ἀπηλλαγμένον,

πρόσεστι τὸ παθητικὸν ὅλως ἢ ᾧ συμφυές· τῷ μὲν οὖν νόμῳ
τοῦτο οὐχ ὑπάρχει, ψυχὴν δ' ἀνθρωπίνην ἀνάγκη τοῦτ'
ἔχειν πᾶσαν. Ἀλλ' ἴσως ἂν φαίη τις ὡς ἀντὶ τούτου βου- 5
λεύσεται περὶ τῶν καθ' ἕκαστα κάλλιον. Ὅτι μὲν τοίνυν
ἀνάγκη νομοθέτην αὐτὸν εἶναι, δῆλον, καὶ κεῖσθαι νόμους,
ἀλλὰ μὴ κυρίους ᾗ παρεκβαίνουσιν, ἐπεὶ περὶ τῶν γ' ἄλλων
εἶναι δεῖ κυρίους· ὅσα δὲ μὴ δυνατὸν τὸν νόμον κρίνειν ἢ
ὅλως ἢ εὖ, πότερον ἕνα τὸν ἄριστον δεῖ ἄρχειν ἢ πάντας;
Καὶ γὰρ νῦν συνιόντες δικάζουσι καὶ βουλεύονται καὶ κρί-
νουσιν, αὗται δ' αἱ κρίσεις εἰσὶ πᾶσαι περὶ τῶν καθ' ἕκα-
στον. Καθ' ἕνα μὲν οὖν συμβαλλόμενος ὁστισοῦν ἴσως χεί-
ρων· ἀλλ' ἐστὶν ἡ πόλις ἐκ πολλῶν, ὥσπερ δ'[a] ἑστίασις
συμφορητὸς καλλίων μιᾶς καὶ ἁπλῆς, διὰ τοῦτο καὶ κρίνει
ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὁστισοῦν. Ἔτι μᾶλλον ἀδιάφθο- 6
ρον τὸ πολύ — καθάπερ ὕδωρ τὸ πλεῖον, οὕτω καὶ τὸ πλῆ-
θος τῶν ὀλίγων ἀδιαφθορώτερον· τοῦ δ' ἑνὸς ὑπ' ὀργῆς
κρατηθέντος ἤ τινος ἑτέρου πάθους τοιούτου ἀναγκαῖον
διεφθάρθαι τὴν κρίσιν, ἐκεῖ δ' ἔργον ἅμα πάντας ὀργισθῆ-
ναι καὶ ἁμαρτεῖν. Ἔστω δὲ τὸ πλῆθος οἱ ἐλεύθεροι, μηδὲν
παρὰ τὸν νόμον πράττοντες ἀλλ' ἢ περὶ ὧν ἐκλείπειν ἀναγ-
καῖον αὐτόν. Εἰ δὲ δὴ τοῦτο μὴ ῥᾴδιον ἐν πολλοῖς, ἀλλ' εἰ
πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται, πότερον ὁ εἷς
1286b ἀδιαφθορώτερος ἄρχων ἢ μᾶλλον οἱ πλείους μὲν τὸν ἀριθ-
μὸν ἀγαθοὶ δὲ πάντες; Ἢ δῆλον ὡς οἱ πλείους; Ἀλλ' οἱ

---

[a] ὥσπερ δ' ἐκδόται, ὥσπερ χ'/φα

ἢ εἰς ἐκεῖνον παρ' ᾧ ἡ ἐμπάθεια εἶναι συμφυής. Καὶ εἰς
μὲν τὸν νόμον ἐμπάθεια δὲν ὑπάρχει, πᾶσα ὅμως ἀνθρωπί-
νη ψυχὴ κατ' ἀνάγκην θὰ ἔχῃ τοιαύτην. Ἀλλ' ἴσως νὰ 5
ἔλεγέ τις ὅτι ἀπέναντι τοῦ μειονεκτήματος τούτου ἔχει ὁ
μονάρχης τὸ πλεονέκτημα ὅτι ὀρθότερον παντὸς ἄλλου θὰ
σκεφθῇ καὶ θὰ ἀποφασίσῃ περὶ τῶν καθέκαστα. Καὶ τὸ
ὅτι μὲν αὐτὸς πρέπει νὰ ἔχῃ τὴν ἀπαιτουμένην διὰ νομο-
θέτην ἱκανότητα εἶναι φανερόν, καθὼς καὶ τὸ ὅτι πρέπει
οἱ παρ' αὐτοῦ τεθειμένοι νόμοι νὰ εἶναι ἔγκυροι, ἀλλ' ἐκ
τούτων οὐδὲν κῦρος δέον νὰ ἔχουν ἐκεῖνοι οἱ ὁποῖοι παρεκ-
βαίνουν τοῦ ὀρθοῦ καὶ δικαίου, διότι οἱ ὀρθῶς τὰς καθέκα-
στα σχέσεις ρυθμίζοντες πρέπει νὰ εἶναι πάντως ἔγκυροι.
Ἀλλὰ περὶ ὅσων ὁ νόμος δὲν δύναται νὰ ἀποφανθῇ ἢ κα-
θόλου ἢ καλῶς, τί πρέπει, ὁ εἷς ὁ ἄριστος νὰ ἔχῃ τὴν ἄρ-
χουσαν κρίσιν ἢ οἱ πάντες; Διότι καὶ τώρα συνερχόμενοι
δικάζουν καὶ διασκέπτονται καὶ κρίνουν, αὗται δὲ αἱ κρί-
σεις πᾶσαι ἀφοροῦν τὰ καθ' ἕκαστον εἰδικὰ ζητήματα. Καὶ
οἱοσδήποτε μὲν τῶν πολιτῶν ὡς ἄτομον παραβαλλόμενος
πρὸς τὸν ἕνα, τὸν ἄριστον, εἶναι ἴσως κατώτερος· ἀλλ' ἡ
πόλις ἀποτελεῖται ἐκ πολλῶν, ὅπως δὲ τὸ συμπόσιον εἰς ὃ
ἕκαστος συνεισφέρει τὸ φαγητόν του εἶναι καλύτερον τοῦ
παρ' ἑνὸς μόνον χορηγοῦ παρατιθεμένου, οὕτω καὶ ὁ λαὸς
καλύτερον κρίνει πολλὰ ζητήματα ἢ εἷς, ὁποιοσδήποτε καὶ
ἂν εἶναι οὗτος. Ἀλλὰ καὶ τὸ πολὺ εἶναι μᾶλλον ἀνεπίδε- 6
κτον φθορᾶς ἢ τὸ ὀλίγον — καθὼς δὲ καὶ μεγαλυτέρα πο-
σότης ὕδατος ὀλιγώτερον ἐπιδεκτικὴ μολύνσεως εἶναι, οὕτω
καὶ οἱ πολυαριθμότεροι ὀλιγώτερον ὑπόκεινται εἰς διαφθο-
ρὰν ἢ οἱ ὀλίγοι· ὅταν δὲ ὁ εἷς εἴτε ὑπὸ ὀργῆς εἴτε ὑπὸ
τοιούτου τινὸς ἄλλου πάθους κυριευθῇ κατ' ἀνάγκην θὰ
ἐπηρεασθῇ ἐκ τούτου ἡ κρίσις του· οἱ πολυάριθμοι ὅμως
δύσκολον εἶναι νὰ κυριευθοῦν πάντες συγχρόνως ὑπ' ὀργῆς
καὶ ἐκ τούτου νὰ σφάλουν. Ἂς παραδεχθῶμεν δὲ ὅτι τὸ
πλῆθος ἀποτελοῦν οἱ ἐλεύθεροι, οὐδὲν παρὰ τὸν νόμον
πράττοντες, ἀποφασίζοντες δὲ μόνον ἐκεῖ ἔνθα ὁ νόμος
κατ' ἀνάγκην σιωπᾷ. Ἐὰν δὲ τοῦτο δὲν εἶναι εὔκολον με-
ταξὺ πολλῶν, ἂς παραδεχθῶμεν ὅτι οἱ περισσότεροι καὶ
ἄνδρες ἀγαθοὶ καὶ πολῖται ἀγαθοὶ εἶναι· εἰς τοιαύτην δὲ
περίπτωσιν τί ἐκ τῶν δύο; Ὁ εἷς θὰ εἶναι ἀδιαφθορώτερος
ἄρχων ἢ μᾶλλον οἱ περισσότεροι μὲν τὸν ἀριθμόν, ἀγαθοὶ
δὲ πάντες; Ἢ φανερὸν εἶναι ὅτι τοιοῦτοι θὰ εἶναι οἱ πε-
ρισσότεροι; Ἀλλ' οἱ μὲν στασιάζουσι πρὸς ἀλλήλους, ὁ δὲ

*μὲν στασιάζουσιν, ὁ δ' εἷς ἀστασίαστος. Ἀλλὰ πρὸς τοῦτ'
ἀντιθετέον ἴσως ὅτι σπουδαῖοι τὴν ψυχὴν ὥσπερ κἀκεῖνος ὁ
εἷς. Εἰ δὴ τὴν μὲν τῶν πλειόνων ἀρχὴν ἀγαθῶν δ' ἀνδρῶν* 7
*πάντων ἀριστοκρατίαν θετέον, τὴν δὲ τοῦ ἑνὸς βασιλείαν,
αἱρετώτερον ἂν εἴη ταῖς πόλεσιν ἀριστοκρατία βασιλείας,
καὶ μετὰ δυνάμεως καὶ χωρὶς δυνάμεως οὔσης τῆς ἀρχῆς,
ἂν ᾖ λαβεῖν πλείους ὁμοίους. Καὶ διὰ τοῦτ' ἴσως ἐβασι-
λεύοντο πρότερον, ὅτι σπάνιον ἦν εὑρεῖν ἄνδρας πολὺ*[a] *δια-
φέροντας κατ' ἀρετήν, ἄλλως τε καὶ τότε μικρὰς οἰκοῦντας
πόλεις. Ἔτι δ' ἀπ' εὐεργεσίας καθίστασαν τοὺς βασιλεῖς,
ὅπερ ἐστὶν ἔργον τῶν ἀγαθῶν ἀνδρῶν. Ἐπεὶ δὲ συνέβαινε
γίγνεσθαι πολλοὺς ὁμοίους πρὸς ἀρετήν, οὐκέτι ὑπέμενον
ἀλλ' ἐζήτουν κοινόν τι καὶ πολιτείαν καθίστασαν. Ἐπεὶ δὲ* 8
*χείρους γιγνόμενοι ἐχρηματίζοντο ἀπὸ τῶν κοινῶν, ἐντεῦθέν
ποθεν εὔλογον γενέσθαι τὰς ὀλιγαρχίας· ἔντιμον γὰρ ἐποίη-
σαν τὸν πλοῦτον. Ἐκ δὲ τούτων πρῶτον εἰς τυραννίδας
μετέβαλλον, ἐκ δὲ τῶν τυραννίδων εἰς δημοκρατίαν· ἀεὶ γὰρ
εἰς ἐλάττους ἄγοντες δι' αἰσχροκέρδειαν, ἰσχυρότερον τὸ
πλῆθος κατέστησαν, ὥστ' ἐπιθέσθαι καὶ γενέσθαι δημοκρα-
τίας. Ἐπεὶ δὲ καὶ μείζους εἶναι συμβέβηκε τὰς πόλεις, ἴσως
οὐδὲ ῥᾴδιον ἔτι γίγνεσθαι πολιτείαν ἑτέραν παρὰ δημοκρα-
τίαν. Εἰ δὲ δή τις ἄριστον θείη τὸ βασιλεύεσθαι ταῖς πόλε-* 9
*σιν, πῶς ἕξει τὰ περὶ τῶν τέκνων; Πότερον καὶ τὸ γένος
δεῖ βασιλεύειν; Ἀλλὰ γιγνομένων ὁποῖοί τινες ἔτυχον
βλαβερόν. Ἀλλ' οὐ παραδώσει κύριος ὢν τοῖς τέκνοις. Ἀλλ'
οὐκ ἔτι τοῦτο ῥᾴδιον πιστεῦσαι· χαλεπὸν γάρ, καὶ μείζονος
ἀρετῆς ἢ κατ' ἀνθρωπίνην φύσιν. Ἔχει δ' ἀπορίαν καὶ* 10

---

[a] *πολλοὺς* (*plures* Ar.) Sylburg

εἷς δὲν στασιάζει. Ἀλλὰ πρὸς τὸ ἐπιχείρημα τοῦτο ἂς ἀντιπροβληθῇ ἡ ὑπόθεσις ὅτι καὶ οὗτοι εἶναι σπουδαῖοι κατὰ τὴν ψυχὴν ὅπως καὶ ὁ εἷς ἐκεῖνος. Ἐὰν δὲ οὕτω τὴν τῶν 7
πλειόνων, ἀγαθῶν δὲ ἀνδρῶν, ἀρχὴν ἀριστοκρατίαν θεωρήσωμεν, τὴν δὲ τοῦ ἑνὸς βασιλείαν, προτιμοτέρα θὰ ἦτο διὰ τὰς πόλεις ἡ ἀριστοκρατία παρὰ ἡ βασιλεία, εἴτε ἀπολυταρχικῶς εἴτε συνταγματικῶς ἀσκοῦνται ἀμφότεραι, ἀρκεῖ μόνον νὰ εὑρεθοῦν πλείονες ὅμοιοι. Καὶ διὰ τοῦτο ἴσως ἐβασιλεύοντο πρότερον αἱ πόλεις, διότι ἦτο πολὺ σπάνιον νὰ εὑρίσκοντο πολλοὶ ἄνδρες ὑπερέχοντες κατὰ τὴν ἀρετήν, ὅπερ καὶ δι' ἄλλους μὲν συνέβαινε λόγους, ἀλλὰ καὶ διότι τότε κατῴκουν ὀλιγανθρώπους πόλεις. Ἐπὶ πλέον ὅμως καὶ λόγῳ εὐεργεσιῶν ἀνεδείκνυον τοὺς βασιλεῖς, αἵτινες μόνον ὑπ' ἀγαθῶν ἀνδρῶν παρέχονται. Ἐπειδὴ ὅμως σὺν τῷ χρόνῳ πολλοὶ ὅμοιοι κατ' ἀρετὴν πρὸς τὸν βασιλέα ἀνεδεικνύοντο, δὲν ἠνείχοντο πλέον τὸν θεσμόν, ἀλλ' ἐζήτουν πολίτευμά τι καθ' ὃ ἀπὸ κοινοῦ νὰ μετέχουν τῆς ἀρχῆς, καὶ καθίστων τὸ πολίτευμα ὅπερ καλεῖται κυρίως πολιτεία. Ἐπειδὴ δὲ καὶ οὗτοι χειρότεροι καθιστάμενοι 8
ἐχρηματίζοντο ἀπὸ τῶν κοινῶν, εὔλογον ἦτο νὰ προκύψουν ἐντεῦθεν τὰ ὀλιγαρχικὰ πολιτεύματα,—διότι ἀνήγαγον εἰς θέσιν τιμῆς τὸν πλοῦτον. Ἐκ τῆς ὀλιγαρχίας δὲ πρῶτον μετέπιπτον εἰς τὰς τυραννίδας, ἀπὸ τὰς τυραννίδας δὲ εἰς τὴν δημοκρατίαν· διότι οἱ ὀλιγαρχικοὶ εἰς ὀλιγωτέρους βαθμηδὸν ἄγοντες τὸ πολίτευμα ἕνεκα τῆς αἰσχροκερδείας των, ἰσχυρότερον κατέστησαν τὸ πλῆθος, μέχρις ὅτου ἐπιτεθὲν τοῦτο κατ' ἐκείνων συνετέλεσε νὰ διαμορφωθοῦν αἱ δημοκρατίαι. Ἐπειδὴ δὲ συνέβη ἔκτοτε καὶ μεγαλύτεραι νὰ γίνωνται αἱ πόλεις, οὐδ' εὔκολον εἶναι ἴσως τοῦ λοιποῦ νὰ καθίσταται ἄλλο πολίτευμα ἐκτὸς τῆς δημοκρατίας. Ἐὰν ὅμως παραδεχθῇ τις ὅτι τὸ ἄριστον διὰ 9
τὰς πόλεις πολίτευμα εἶναι νὰ βασιλεύωνται, ποῖος θεσμὸς θὰ ἰσχύσῃ διὰ τὰ τέκνα τοῦ βασιλέως; Θὰ νομοθετηθῇ ὅπως κληρονομικῷ δικαιώματι γίνωνται καὶ οἱ διάδοχοι αὐτοῦ βασιλεῖς; Ἀλλὰ τοῦτο θὰ ἦτο βλαβερὸν ἐὰν ἐγεννῶντο τυχὸν ἀνάξια τέκνα. Ἴσως ὅμως ἰσχυρισθῇ τις ὅτι καίτοι κυρίαρχος ὁ βασιλεὺς δὲν θὰ παραδώσῃ εἰς τοιαύτην περίπτωσιν τὴν βασιλείαν εἰς τὰ τέκνα του. Ἀλλὰ τοῦτο δὲν εἶναι πλέον εὔκολον νὰ τὸ πιστεύσῃ τις. Διότι δύσκολον εἶναι καὶ προϋποθέτει ἀρετὴν ἀνωτέραν τῆς ἀνθρωπίνης φύσεως. Ἀπορούμενον ὅμως εἶναι καὶ τὸ ζήτημα, ὁποία τις 10

*περὶ τῆς δυνάμεως, πότερον ἔχει δεῖ τὸν μέλλοντα βασιλεύειν ἰσχύν τινα περὶ αὑτὸν ᾗ δυνήσεται βιάζεσθαι τοὺς μὴ βουλομένους πειθαρχεῖν; Ἢ πῶς ἐνδέχεται τὴν ἀρχὴν διοικεῖν; Εἰ γὰρ καὶ κατὰ νόμον εἴη κύριος, μηδὲν πράττων κατὰ τὴν αὑτοῦ βούλησιν παρὰ τὸν νόμον, ὅμως ἀναγκαῖον ὑπάρχειν αὐτῷ δύναμιν ᾗ φυλάξει τοὺς νόμους. Τάχα μὲν οὖν τὰ περὶ τὸν βασιλέα τὸν τοιοῦτον οὐ χαλεπὸν διορίσαι· δεῖ γὰρ αὐτὸν μὲν ἔχειν ἰσχύν, εἶναι δὲ τοσαύτην τὴν ἰσχὺν ὥστε ἑκάστου μὲν καὶ ἑνὸς καὶ συμπλειόνων κρείττω, τοῦ δὲ πλήθους ἥττω, καθάπερ οἵ τ' ἀρχαῖοι τὰς φυλακὰς ἐδίδοσαν ὅτε καθισταῖέν τινα τῆς πόλεως ὃν ἐκάλουν αἰσυμνήτην ἢ τύραννον,*[a] *καὶ Διονυσίῳ τις, ὅτ' ᾔτει τοὺς φύλακας, συνεβούλευε τοῖς Συρακουσίοις διδόναι τοσούτους τοὺς φύλακας.*

**1287a** **16.** *Περὶ δὲ τοῦ βασιλέως τοῦ κατὰ τὴν αὑτοῦ βούλησιν* XI
*πάντα πράττοντος ὅ τε λόγος ἐφέστηκε νῦν καὶ ποιητέον τὴν σκέψιν. Ὁ μὲν γὰρ κατὰ νόμον λεγόμενος βασιλεὺς οὐκ ἔστιν εἶδος, καθάπερ εἴπομεν, πολιτείας (ἐν πάσαις γὰρ ὑπάρχειν ἐνδέχεται στρατηγίαν ἀΐδιον, οἷον ἐν δημοκρατίᾳ καὶ ἀριστοκρατίᾳ, καὶ πολλοὶ ποιοῦσιν ἕνα κύριον τῆς διοικήσεως· τοιαύτη γὰρ ἀρχή τίς ἐστι καὶ περὶ Ἐπίδαμνον, καὶ περὶ Ὀποῦντα δὲ κατά τι μέρος ἔλαττον)· περὶ δὲ τῆς* 2
*παμβασιλείας καλουμένης, αὕτη δ' ἐστὶ καθ' ἣν ἄρχει πάντων*[b] *κατὰ τὴν ἑαυτοῦ βούλησιν ὁ βασιλεύς. Δοκεῖ δέ τισιν οὐδὲ κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις· τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν εἶναι, ὥστ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ ἐσθῆτα βλαβερὸν τοῖς σώμασιν, οὕτως ἔχειν*[c] *καὶ τὸ περὶ τὰς τιμάς· ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τοὺς ἴσους,* 3

---

[a] [*ἢ τύραννον*] Susemihl
[b] *πάντων* Jul. : *πάντα* χ'/φα
[c] *ἔχειν* Schneider: *ἔχει* χ'/φα

---

ΚΕΦ. XI ΠΕΡΙ ΤΗΣ ΑΠΟΛΥΤΟΥ ΜΟΝΑΡΧΙΑΣ.

πρέπει νὰ εἶναι ἡ δύναμις ἥτις θὰ περιβάλλῃ τὸν βασιλέα. Πρέπει ὁ μέλλων νὰ βασιλεύσῃ νὰ ἔχῃ δύναμίν τινα περὶ αὐτόν, διὰ τῆς ὁποίας θὰ δυνηθῇ νὰ ἐξαναγκάσῃ τοὺς δυστροποῦντας νὰ πειθαρχοῦν, ἤ, ἂν ὄχι, πῶς θὰ δυνηθῇ νὰ ἀσκήσῃ τὴν ἐξουσίαν; Διότι καὶ ἐὰν κυριαρχῇ καὶ ἐνεργῇ συμφώνως πρὸς τοὺς νόμους μηδὲν πράττων κατὰ τὴν ἰδίαν θέλησιν παρὰ τὸν νόμον, ὅμως παρίσταται ἀνάγκη νὰ δαθέτῃ τὴν δύναμιν τὴν ἀπαιτουμένην νὰ φυλάξῃ αὐτοὺς τοὺς νόμους. Μετὰ τοῦτο λοιπὸν δὲν εἶναι δύσκολον νὰ προσδιορίσῃ τις τὸ ποσὸν τῆς δυνάμεως τῆς ἀναγκαιούσης εἰς τὸν βασιλέα: πρέπει οὗτος νὰ ἔχῃ ἰσχύν, τοσαύτη δὲ νὰ εἶναι ἡ ἰσχὺς αὐτή, ὥστε ἔναντι μὲν ἑνὸς ἑκάστου ὡς ἀτόμου νὰ εἶναι ἰσχυρότερος, ἔναντι ὅμως τοῦ πλήθους ἀσθενέστερος. Τὴν ἀναλογίαν ταύτην καὶ οἱ ἀρχαῖοι ἐτήρουν, ὅταν καθίστων τινὰ τῆς πόλεως κύριον, τὸν ὁποῖον ἐκάλουν αἰσυμνήτην ἢ τύραννον καὶ τοῦ ἔδιδον σωματοφυλακήν. Ὁμοίως ὅτε ὁ Διονύσιος ἐζήτει σωματοφύλακας συνεβούλευέ τις τοὺς Συρακοσίους τοσούτους μόνον νὰ τοῦ δώσουν.

**16** ΚΕΦ. XI Περὶ δὲ τοῦ βασιλέως τοῦ πράττοντος 1
τὰ πάντα κατὰ τὴν ἰδίαν βούλησιν, καιρὸς εἶναι ἤδη νὰ ὁμιλήσωμεν καὶ τὴν ἔρευναν νὰ καταστήσωμεν: Διότι ὁ μὲν καλούμενος κατὰ νόμον βασιλεὺς δὲν εἶναι, καθὼς εἴπομεν, εἶδος πολιτεύματος (διότι εἰς πάντα τὰ πολιτεύματα ἐνδέχεται νὰ ὑπάρχῃ στρατηγία ἰσόβιος, οἷον ἐν δημοκρατίᾳ καὶ ἀριστοκρατίᾳ· πολλοὶ μάλιστα ἕνα ἄνδρα καθιστῶσι κυρίαρχον τῆς διοικήσεως· τοιοῦτον δὲ πολιτικὸν ἀξίωμα εὑρίσκεται καθιερωμένον καὶ εἰς τὴν Ἐπίδαμνον καί, μὲ ὀλιγώτερα ἐν τούτοις δικαιώματα, εἰς Ὀποῦντα)· περὶ 2
δὲ τῆς καλουμένης ἀπολύτου μοναρχίας, αὕτη εἶναι ἡ βασιλεία καθ' ἣν πάντων ἄρχει κατὰ τὴν ἰδίαν αὐτοῦ βούλησιν ὁ βασιλεύς. Περὶ αὐτῆς δὲ ἔχουν τινὲς τὴν γνώμην ὅτι, ὅπου ἡ πόλις σύγκειται ἐξ ὁμοίων, ἐκεῖ δὲν εἶναι κατὰ φύσιν νόμιμον νὰ εἶναι εἷς κύριος πάντων· διότι εἰς τοὺς κατὰ φύσιν ὁμοίους τὰ αὐτὰ κατὰ φύσιν δικαιώματα καὶ τὰ αὐτὰ πολιτικὰ δικαιώματα ἀνήκουν, ὥστε, ὅπως εἶναι βλαβερὸν εἰς τὴν ὑγείαν νὰ λαμβάνουν οἱ πρὸς ἀλλήλους ἄνισοι ἴσην ἀδιακρίτως τροφὴν καὶ ἴσον ἱματισμόν, οὕτω βλαβερὸν εἶναι τὸ αὐτὸ καὶ προκειμένου περὶ τῶν ἀξιωμάτων, ὁμοίως δὲ καὶ τὸ ἀντίθετον, τὸ νὰ λαμβάνουν οἱ ἴσοι ἄνισα. Διὰ τοῦτο 3

διόπερ οὐδένα[a] μᾶλλον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον, καὶ τὸ
ἀνὰ μέρος τοίνυν ὡσαύτως. Τοῦτο δ' ἤδη νόμος· ἡ γὰρ τά-
ξις νόμος. Τὸν ἄρα νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν
πολιτῶν ἕνα τινά, κατὰ τὸν αὐτὸν δὲ λόγον τοῦτον, κἂν εἴ
τινας ἄρχειν βέλτιον, τούτους καταστατέον νομοφύλακας καὶ
ὑπηρέτας τοῖς νόμοις· ἀναγκαῖον γὰρ εἶναί τινας ἀρχάς,
ἀλλ' οὐχ ἕνα τοῦτον εἶναί φασι δίκαιον ὁμοίων γε ὄντων
πάντων. Ἀλλὰ μὴν ὅσα γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁ 4
νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτο γνωρίζειν. Ἀλλ' ἐπίτη-
δες παιδεύσας ὁ νόμος ἐφίστησι τὰ λοιπὰ 'τῇ δικαιοτάτῃ
γνώμῃ' κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας, ἔτι δ' ἐπανορ-
θοῦσθαι δίδωσιν ὅ τι ἂν δόξῃ πειρωμένοις ἄμεινον εἶναι
τῶν κειμένων. Ὁ μὲν οὖν τὸν νοῦν κελεύων ἄρχειν δοκεῖ
κελεύειν ἄρχειν τὸν θεὸν καὶ τὸν νοῦν μόνους,[b] ὁ δ' ἄν-
θρωπον κελεύων προστίθησι καὶ θηρίον· ἥ τε γὰρ ἐπιθυ-
μία τοιοῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαστρέφει καὶ τοὺς
ἀρίστους ἄνδρας. Διόπερ ἄνευ ὀρέξεως νοῦς ὁ νόμος ἐστίν.
Τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ 5
κατὰ γράμματα ἰατρεύεσθαι φαῦλον, ἀλλὰ[c] αἱρετώτερον
χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. Οἱ μὲν γὰρ οὐδὲν διὰ φι-
λίαν παρὰ τὸν λόγον ποιοῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν
τοὺς κάμνοντας ὑγιάσαντες, οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς
πολλὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν, ἐπεὶ καὶ
τοὺς ἰατροὺς ὅταν ὑποπτεύωσι πιστευθέντας[d] τοῖς ἐχθροῖς
διαφθείρειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θερα-
πείαν ζητήσαιεν ἂν μᾶλλον. Ἀλλὰ μὴν εἰσάγονταί γ' ἐφ' 6

---

[a] οὐδένα Bernays : οὐδὲν χ'/φα

[b] τὸν νοῦν μόνους χ'/φα Voss. Iul. : τοὺς νόμους λοιπὰ

[c] ἀλλὰ καὶ πλεῖστα χ'/φα

[d] πεισθέντας Schneider

οὐδὲν ἄλλο πολίτευμα προσεγγίζει εἰς τὸ δίκαιον τόσον, ὅσον ἐκεῖνο καθ' ὃ οἱ πολῖται γινόμενοι ἐναλλὰξ ἄρχοντες καὶ ἀρχόμενοι διαδέχονται ἀλλήλους μετὰ ὡρισμένην χρονικὴν περίοδον. Τοῦτο δὲ τὸ σύστημα ἀπέβη πλέον νόμος, διότι νόμος σημαίνει εὔτακτον πολιτικὸν σύστημα. Συνεπῶς προτιμότερον εἶναι νὰ κυβερνᾷ ὁ νόμος παρὰ εἷς τῶν πολιτῶν, καὶ κατὰ τὴν αὐτὴν λογικὴν ἀκολουθίαν, ἐάν τινες δύνανται νὰ ἄρχουν καλύτερον ἢ οἱ ἄλλοι, οὗτοι νὰ καθίστανται φύλακες καὶ ὑπηρέται τῶν νόμων· διότι κατ' ἀνάγκην πρέπει νὰ ὑφίστανται ἀρχαί τινες, ἀλλὰ δὲν εἶναι, ὡς λέγουσι, δίκαιον νὰ ἄρχῃ τις πάντων, ὁμοίων ὄντων. Πρὸς τούτοις ὅμως, ὅσα ζητήματα δὲν δύναται ὁ νόμος ἐπακριβῶς νὰ καθορίζῃ, οὐδὲ ἄνθρωπος θὰ ἠδύνατο νὰ γνωρίζῃ. 4
Ἀλλ' ὁ νόμος ἀφοῦ κατέστησε προηγουμένως καὶ γενικῶς εὐαγώγους τοὺς πολίτας, ἀναθέτει τὰ λοιπὰ εἰς τοὺς ἄρχοντας νὰ τὰ κρίνουν καὶ νὰ τὰ διοικοῦν «τῇ δικαιοτάτῃ γνώμῃ», ἐπὶ πλέον δὲ δίδει εἰς αὐτοὺς τὸ δικαίωμα νὰ διορθώνουν τὸν νόμον ἐκεῖνον ἐκ τῶν κειμένων ὅστις θὰ ἀπεδεικνύενο ἐκ τῆς πείρας ὅτι ἔχει ἀνάγκην βελτιώσεως. Ὁ κελεύων λοιπὸν νὰ ἄρχῃ ὁ νοῦς, πιστεύεται ὅτι κελεύει νὰ ἄρχουν ὁ θεὸς καὶ ὁ νοῦς μόνοι, ὁ κελεύων ὅμως νὰ ἄρχῃ καὶ ὁ ἄνθρωπος, προσθέτει εἰς τὴν ἔννοιαν τοῦ ἀνθρώπου καὶ τὴν τοῦ θηρίου· διότι αἱ ἐπιθυμίαι τοῦ ἀνθρώπου ὁμοιάζουν πρὸς τὰς τοῦ θηρίου καὶ ἡ ὀργὴ διαστρέφει καὶ τοὺς ἀρίστους ἄνδρας ὅταν ἄρχουν. Διὸ καὶ ὁ νόμος εἶναι καθαρὸς νοῦς ἄνευ τοῦ συμφυοῦς τῷ ἀνθρώπῳ ἐπιθυμητικοῦ. Τὸ 5
δὲ ἐκ τῶν τεχνῶν κατ' ἀναλογίαν παράδειγμα, καθ' ὃ ἡ κατὰ γραπτοὺς νόμους ἄσκησις τοῦ ἰατρικοῦ ἐπαγγέλματος εἶναι ἀνόητος, εἶναι δὲ τουναντίον προτιμότερον νὰ ἀσκῶσιν ἐλευθέρως τὰς τέχνας των οἱ εἰδήμονες, φαίνεται ὅτι δὲν ἐφαρμόζεται ἐνταῦθα. Διότι οἱ μὲν ἰατροὶ οὐδὲν παρὰ τὰ ἔλλογα τῆς ἰατρικῆς παραγγέλματα κάμνουν χαριζόμενοι εἰς τοὺς ἀσθενεῖς ἕνεκα φιλίας, ἀλλὰ λαμβάνουν τὴν ἀμοιβήν των μετὰ τὴν θεραπείαν, οἱ τὰ πολιτικὰ ὅμως ἀξιώματα ἔχοντες πολλὰ συνηθίζουν νὰ πράττουν ἐπηρεαζόμενοι καὶ χαριζόμενοι. Ἄλλωστε καὶ παρὰ τῶν ἰατρῶν, ὅταν οἱ οἰκεῖοι τοῦ ἀσθενοῦς ὑποπτεύσωσιν ὅτι ἐκεῖνοι δωροδοκηθέντες ὑπὸ τῶν ἐχθρῶν χειροτερεύουν ἐπίτηδες τὴν κατάστασιν τοῦ ἀσθενοῦντος, δύνανται νὰ ζητήσουν ὡς ἀσφαλεστέραν τὴν κατὰ τὰ γραπτὰ παραγγέλματα τῆς ἰατρικῆς θεραπείαν. Πρὸς τούτοις δὲ οἱ ἰατροὶ ἀσθενοῦντες προσκα- 6

1287b *ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες ἄλλους ἰατροὺς καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι παιδοτρίβας, ὡς οὐ δυνάμενοι κρίνειν τὸ ἀληθὲς διὰ τὸ κρίνειν περί τε οἰκείων καὶ ἐν πάθει ὄντες. Ὥστε δῆλον ὅτι τὸ δίκαιον ζητοῦντες τὸ μέσον ζητοῦσιν· ὁ γάρ[a] νόμος τὸ μέσον. Ἔτι κυριώτεροι καὶ περὶ κυριωτέρων τῶν κατὰ γράμματα νόμων οἱ κατὰ τὰ ἔθη εἰσίν, ὥστ' εἰ τῶν κατὰ γράμματα ἄνθρωπος ἄρχων ἀσφαλέστερος, ἀλλ' οὐ τῶν κατὰ τὸ ἔθος. Ἀλλὰ μὴν οὐδὲ ῥᾴδιον ἐφορᾶν πολλὰ* 7
*τὸν ἕνα· δεήσει ἄρα πλείονας εἶναι τοὺς ὑπ' αὐτοῦ καθισταμένους ἄρχοντας, ὥστε τί διαφέρει τοῦτο ἐξ ἀρχῆς εὐθὺς ὑπάρχειν ἢ τὸν ἕνα καταστῆσαι τοῦτον τὸν τρόπον; Ἔτι, ὃ καὶ πρότερον εἰρημένον ἐστίν, εἴπερ ὁ ἀνὴρ ὁ σπουδαῖος, διότι βελτίων, ἄρχειν δίκαιος, τοῦ δὲ ἑνὸς οἱ δύο ἀγαθοὶ βελτίους· τοῦτο γάρ ἐστι τὸ*

*σύν τε δύ' ἐρχομένω*

*καὶ ἡ εὐχὴ τοῦ Ἀγαμέμνονος,*

*τοιοῦτοι δέκα μοι συμφράδμονες.*

*Εἰσὶ δὲ καὶ νῦν περὶ ἐνίων αἱ ἀρχαὶ κύριαι κρίνειν, ὥσπερ ὁ δικαστής, περὶ ὧν ὁ νόμος ἀδυνατεῖ διορίζειν, ἐπεὶ περὶ ὧν γε δυνατός, οὐδεὶς ἀμφισβητεῖ περὶ τούτων ὡς οὐκ ἂν ἄριστα ὁ νόμος ἄρξειε καὶ κρίνειεν. Ἀλλ' ἐπειδὴ τὰ μὲν* 8
*ἐνδέχεται περιληφθῆναι τοῖς νόμοις τὰ δ' ἀδύνατα, ταῦτ' ἐστὶν ἃ ποιεῖ διαπορεῖν καὶ ζητεῖν πότερον τὸν ἄριστον νόμον ἄρχειν αἱρετώτερον ἢ τὸν ἄνδρα τὸν ἄριστον. Περὶ ὧν γὰρ βουλεύονται νομοθετῆσαι τῶν ἀδυνάτων ἐστίν. Οὐ τοίνυν τοῦτό γ' ἀντιλέγουσιν, ὡς οὐκ ἀναγκαῖον ἄνθρωπον εἶναι τὸν κρινοῦντα περὶ τῶν τοιούτων, ἀλλ' ὅτι οὐχ ἕνα μόνον ἀλλὰ πολλούς. Κρίνει γὰρ ἕκαστος ἄρχων πεπαιδευμένος ὑπὸ τοῦ νόμου καλῶς, ἄτοπον δ' ἴσως ἂν εἶναι δό-* 9
*ξειεν εἰ βέλτιον ἴδοι[b] τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων καὶ πράττων[c] δυσὶ ποσὶ καὶ χερσὶν ἢ πολλοὶ πολ-*

---

[a] δὲ Thurot
[b] ἔχοι Susemihl
[c] πράττοι Conring

λοῦν βεβαίως ἄλλους ἰατροὺς καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι ἄλλους παιδοτρίβας, ὡς μὴ δυνάμενοι νὰ διαγιγνώσκουν τὸ ἀληθές, διὰ τὸν λόγον ὅτι εἶναι ὑποχρεωμένοι νὰ κρίνουν περὶ τῶν ἰδίων καθ' ὃν χρόνον αὐτοὶ οὗτοι ὑπὸ τοῦ νοσήματος κατέχονται. Πρόδηλον ἐκ τούτου λοιπὸν ὅτι οἱ ἐπιζητοῦντες τὸ δίκαιον ἐπιζητοῦν τὸ μέσον· διότι ὁ νόμος εἶναι τὸ μέσον. Ἐπὶ πλέον μεγαλύτερον κῦρος ἔχουν καὶ σπουδαιότερα ζητήματα καθορίζουν οἱ ἄγραφοι νόμοι παρὰ οἱ γραπτοί· ἀλλὰ παρ' ὅλον τοῦτο ἀσφαλέστερον ἄρχει ὁ κατὰ τοὺς γραπτοὺς νόμους ἢ ὁ κατὰ τοὺς ἀγράφους κυβερνῶν. Ἀλλ' ὅμως δὲν εἶναι καὶ εὔκολον πολλὰ ταυτοχρό- 7
νως ὁ εἷς νὰ ἐποπτεύῃ· θὰ παραστῇ ἑπομένως ἀνάγκη πλείονες ὑπ' αὐτοῦ νὰ διορίζωνται ἄρχοντες. Ἀλλ' ἐν τοιαύτῃ περιπτώσει τί εἶναι προτιμότερον, νὰ διορίζωνται οὗτοι εὐθὺς ἐξ ἀρχῆς ὑπὸ τῆς πόλεως, ἢ ὁ εἷς οὗτος νὰ τοὺς διορίζῃ κατ' αὐτὸν τὸν τρόπον; Ἐπὶ πλέον, ὅπερ καὶ πρότερον ἐλέχθη, ἐὰν δίκαιον εἶναι νὰ ἄρχῃ ὁ σπουδαῖος ἀνὴρ ὡς καλύτερος, ἔτι δικαιότερον νὰ ἄρχουν καὶ δύο ἀγαθοὶ ἄνδρες ὡς καλύτεροι τοῦ ἑνός, ὅπως σημαίνει τὸ

"ὅταν δύο συνέρχωνται"

καὶ ἡ εὐχὴ τοῦ Ἀγαμέμνονος

"μακάρι συμβουλάτορες, δέκα παρόμοιους νἄχα".[1]

Καὶ σήμερον ἄλλωστε αἱ δημόσιαι ἀρχαί, ὡς οἱ δικασταί, ἔχουν τὸ δικαίωμα νὰ κρίνουν ὑποθέσεις τινάς, περὶ ὧν ὁ νόμος ἀδυνατεῖ νὰ καθορίζῃ, ἐπειδὴ περὶ ἐκείνων διὰ τὰ ὁποῖα δύναται νὰ καθορίζῃ, οὐδεὶς δύναται νὰ ἀμφισβητήσῃ ὅτι ἄριστος ἄρχων καὶ κριτὴς εἶναι ὁ νόμος. Ἀλλ' ἐπειδὴ 8
ἄλλα μὲν εἶναι δυνατὸν νὰ περιλαμβάνωνται εἰς τοὺς νόμους, ἄλλα δὲ ἀδύνατον, τοῦτο εἶναι ἐκεῖνο τὸ ὁποῖον διεγείρει τὰς ἀπορίας καὶ θέτει τὸ πρόβλημα τί εἶναι προτιμότερον, ὁ ἄριστος νόμος ἢ ὁ ἄριστος ἀνὴρ νὰ ἄρχῃ· διότι νόμος περιλαμβάνων τὰς πολιτικὰς ὑποθέσεις περὶ ὧν συσκεπτόμενοι οἱ πολῖται ἀποφασίζουν, δὲν εἶναι δυνατὸν νὰ ὑπάρχῃ. Καὶ ὅτι μὲν ἄνθρωπος πρέπει νὰ κρίνῃ περὶ τῶν τοιούτων ὑποθέσεων, οὐδεὶς ἀντιλέγει· ἡ διαφωνία ὅμως ἔγκειται εἰς τοῦτο, ὅτι δὲν πρέπει νὰ ὑπάρχῃ εἷς ἀλλὰ πολλοί. Διότι ἕκαστος ἄρχων πεπαιδευμένος ὑπὸ τοῦ νόμου κρίνει καλῶς, ἀλλ' ἄτοπος ἴσως εἶναι ἡ γνώμη ὅτι καλύτε- 9
ρον ἀντιλαμβάνεταί τις μὲ δύο μόνον ὀφθαλμοὺς καὶ μὲ δύο ὦτα καὶ καλύτερον ἐνεργεῖ μὲ δύο χεῖρας καὶ μὲ δύο πόδας, παρὰ οἱ πολλοὶ μὲ πολλά, διότι καὶ τώρα οἱ μονάρχαι

[1]) Ἰλιάδ. Χ 224.

*λοῖς, ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὑτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας, τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῖς*[a] *φίλους ποιοῦνται συνάρχους. Μὴ φίλοι μὲν οὖν ὄντες οὐ ποιήσουσι κατὰ τὴν τοῦ μονάρχου προαίρεσιν· εἰ δὲ φίλοι κἀκείνου καὶ τῆς ἀρχῆς, ὅ γε φίλος ἴσος καὶ ὅμοιος, ὥστ' εἰ τούτους οἴεται δεῖν ἄρχειν, τοὺς ἴσους καὶ ὁμοίους ἄρχειν οἴεται δεῖν ὁμοίως. Ἃ μὲν οὖν οἱ διαμφισβητοῦντες πρὸς τὴν βασιλείαν λέγουσι, σχεδὸν ταῦτ' ἐστίν.*

**17.** *Ἀλλ' ἴσως ταῦτ' ἐπὶ μὲν τινῶν ἔχει τὸν τρόπον τοῦτον,* 10
*ἐπὶ δὲ τινῶν οὐχ οὕτως. Ἔστι γάρ τι φύσει δεσποστὸν καὶ ἄλλο βασιλευτὸν καὶ ἄλλο πολιτικόν, καὶ τοῦτο*[b] *δίκαιον καὶ συμφέρον· τυραννικὸν δ' οὐκ ἔστι κατὰ φύσιν, οὐδὲ τῶν ἄλλων πολιτειῶν ὅσαι παρεκβάσεις εἰσίν, ταῦτα γὰρ γίγνεται παρὰ*
1288a *φύσιν. Ἀλλ' ἐκ τῶν εἰρημένων γε φανερὸν ὡς ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις οὔτε συμφέρον ἐστὶν οὔτε δίκαιον ἕνα κύριον εἶναι πάντων, οὔτε μὴ νόμων ὄντων, ἀλλ' αὐτὸν ὡς ὄντα νόμον, οὔτε νόμων ὄντων, οὔτε ἀγαθὸν ἀγαθῶν οὔτε μὴ ἀγαθῶν μὴ ἀγαθόν, οὐδ' ἂν κατ' ἀρετὴν ἀμείνων ᾖ, εἰ μὴ τρόπον τινά. Τίς δ' ὁ τρόπος, λεκτέον· εἴρηται δέ πως ἤδη καὶ πρότερον. Πρῶτον δὲ διοριστέον τί τὸ βασιλευτὸν καὶ τί τὸ* 11
*ἀριστοκρατικὸν καὶ τί τὸ πολιτικόν. Βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτόν ἐστι πλῆθος ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ' ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν, ἀριστοκρατικὸν δὲ*[c] *ὃ πέφυκε φέρειν πλῆθος ἄρχεσθαι δυνάμενον τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ' ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν, πολιτικὸν δὲ*[d] *ἐν ᾧ πέφυκεν ἐγγίνεσθαι πλῆθος πολεμικὸν δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ' ἀξίαν διανέμοντα τοῖς εὐπόροις τὰς ἀρχάς. Ὅταν οὖν ἢ γέ-* 12

---

[a] *αὐτοῖς* Mus.: *αὑτοῦ, αὐτοὺς* χ'/φα
[b] Richards
[c] *δὲ ἐκδ.*: *δὲ πλῆθος* χ'/φα (*ὃ—πλῆθος* secl. Victorius)
[d] *δὲ ἐκδ.*: *δὲ πλῆθος* χ'/φα (*ἐν ᾧ—πολεμικὸν* secl. Hercher)

προσλαμβάνουν πολλοὺς ὀφθαλμοὺς καὶ ὦτα καὶ χεῖρας καὶ πόδας, καθιστῶντες συνάρχους τοὺς διακειμένους φιλικῶς πρὸς τὴν μοναρχίαν καὶ πρὸς τὸ πρόσωπον τοῦ μονάρχου. Καὶ ἐὰν μὲν ἐκεῖνοι δὲν εἶναι φίλοι, ἡ ἐνέργειά των δὲν θὰ εἶναι σύμφωνος πρὸς τὴν προαίρεσιν τοῦ μονάρχου· ἐὰν δὲ εἶναι φίλοι, πᾶσα ἡ ἐνέργεια αὐτῶν θὰ ἀποβλέπῃ εἰς τὸ συμφέρον ἐκείνου καὶ τῆς μοναρχίας· ἀλλ᾽ ὁ φίλος εἶναι ἴσος καὶ ὅμοιος. Συνεπῶς ἐὰν ὁ μονάρχης ἔχει τὴν ἰδέαν ὅτι οἱ φίλοι του πρέπει νὰ εἶναι ἄρχοντες, ἔχει ἐν ταὐτῷ τὴν ἰδέαν ὅτι ὁμοίως δέον νὰ ἄρχουν οἱ ἴσοι καὶ ὅμοιοί του. Ταῦτα περίπου εἶναι τὰ ἐπιχειρήματα τῶν διαμφισβητούντων τὴν ἀξίαν καὶ τὸ δίκαιον τοῦ βασιλικοῦ πολιτεύματος.

**17.** Ἀλλ᾽ ἴσως ταῦτα ἐπί τινων μὲν λαῶν νὰ ἐπαλη- 10
θεύουν, ἐπί τινων δὲ ἄλλων ἄλλως νὰ ἔχουν. Διότι ἐκ τοῦ δικαίου καὶ τοῦ συμφέροντος τὸ μὲν εἶναι φύσει δεσποτικόν, τὸ δὲ φύσει βασιλικόν, ἄλλο δὲ φύσει πρὸς «πολιτείαν» σύμφωνον· τυραννικὸν ὅμως δίκαιον καὶ συμφέρον κατὰ φύσιν δὲν ὑπάρχει, οὐδὲ οὐδενὸς ἄλλου ἐκ τῶν παρεκβατικῶν πολιτευμάτων διότι ταῦτα παρὰ φύσιν συνίστανται. Ἀλλ᾽ ἐκ τῶν εἰρημένων φανερὸν εἶναι ὅτι ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις οὔτε συμφέρον οὔτε δίκαιον εἶναι νὰ εἶναι εἷς κύριος πάντων, οὔτε ἂν οὗτος κυβερνᾷ ἄνευ νόμων, ὅτε ἡ βούλησις αὐτοῦ ἐπέχει θέσιν νόμου, οὔτε ἂν μετὰ νόμων· οὔτε ἂν αὐτὸς ἀγαθὸς ὢν κυβερνᾷ ἀγαθούς, οὔτε ἂν μὴ ἀγαθὸς μὴ ἀγαθούς, οὐδ᾽ ἂν κατ᾽ ἀρετὴν εἶναι ἀνώτερος τῶν ἄλλων, ἐκτὸς μόνον ὑπό τινας ὅρους. Ποῖοι δὲ εἶναι αὐτοὶ οἱ ὅροι ἂς εἴπωμεν, ἂν καὶ πρότερον ἐγένετο περὶ αὐτῶν λό-
γος. Κατὰ πρῶτον πρέπει νὰ προσδιορίσωμεν ποῖος λαὸς 11
εἶναι ἐπιδεκτικὸς βασιλείας ποῖος ἀριστοκρατίας, καὶ ποῖος «πολιτείας». Βασιλείας λοιπὸν εἶναι ἐπιδεκτικὸς ὁ λαὸς ἐκεῖνος τοῦ ὁποίου αἱ φυσικαὶ προδιαθέσεις εἶναι τοιαῦται ὥστε νὰ ἀνέχεται τὴν κυριαρχίαν εὐγενοῦς οἰκογενείας, τῆς ὁποίας ἡ ἀρετὴ πρὸς πολιτικὴν ἡγεμονίαν ὑπερέχει τῆς τῶν ἄλλων· ἀριστοκρατίας δὲ ὁ λαὸς ὅστις ἐκ φυσικῆς προδιαθέσεως ἀνέχεται εὐκόλως νὰ κυβερνᾶται κατὰ τὰς ἀρχὰς τῆς πολιτικῆς ἐλευθερίας παρὰ διακεκριμένων κατ᾽ ἀρετὴν ἐπὶ πολιτικῇ ἀρχῇ οἰκογενειῶν· «πολιτείας» δὲ ὁ λαὸς ἐκ τῶν ἐμφύτων δυνάμεων τοῦ ὁποίου ἀναφαίνεται ἱκανὸν πλῆθος πολεμιστῶν δυνάμενον νὰ ἄρχηται καὶ νὰ ἄρχῃ κατὰ τὸν νόμον ὅστις ἀπονέμει κατ᾽ ἀξίαν εἰς τοὺς εὐπόρους τὰ
πολιτικὰ δικαιώματα. Ὅταν λοιπὸν συμβῇ ἢ γένος ὁλό- 12

*νος ὅλον ἢ καὶ τῶν ἄλλων ἕνα τινὰ συμβῇ διαφέροντα γενέσθαι κατ' ἀρετὴν τοσοῦτον ὥσθ' ὑπερέχειν τὴν ἐκείνου τῆς τῶν ἄλλων πάντων, τότε δίκαιον τὸ γένος εἶναι τοῦτο βασιλικὸν καὶ κύριον πάντων καὶ βασιλέα τὸν ἕνα τοῦτον. Καθάπερ γὰρ εἴρηται πρότερον, οὐ μόνον οὕτως ἔχει κατὰ τὸ δίκαιον ὃ προφέρειν εἰώθασιν οἱ τὰς πολιτείας καθιστάντες οἵ τε τὰς ἀριστοκρατικὰς καὶ οἱ τὰς ὀλιγαρχικὰς καὶ πάλιν οἱ τὰς δημοκρατικάς (πάντες γὰρ καθ' ὑπεροχὴν ἀξιοῦσιν ἀλλ' ὑπεροχὴν οὐ τὴν αὐτήν) ἀλλὰ <καὶ>*[a] *κατὰ τὸ πρότερον λεχθέν. Οὔτε γὰρ κτείνειν ἢ φυγαδεύειν οὐδ' ὀστρακίζειν δή* 13
*που τὸν τοιοῦτον πρέπον ἐστίν, οὔτ' ἀξιοῦν ἄρχεσθαι κατὰ μέρος· οὐ γὰρ πέφυκε τὸ μέρος ὑπερέχειν τοῦ παντός, τῷ δὲ τηλικαύτην ὑπερβολὴν ἔχοντι τοῦτο συμβέβηκεν. Ὥστε λείπεται μόνον τὸ πείθεσθαι τῷ τοιούτῳ, καὶ κύριον εἶναι μὴ κατὰ μέρος τοῦτον ἀλλ' ἁπλῶς. Περὶ μὲν οὖν βασιλείας, τίνας ἔχει διαφοράς, καὶ πότερον οὐ συμφέρει ταῖς πόλεσιν ἢ συμφέρει, καὶ τίσι, καὶ πῶς, διωρίσθω τὸν τρόπον τοῦτον.*

**18.** *Ἐπεὶ δὲ τρεῖς φαμὲν εἶναι τὰς ὀρθὰς πολιτείας,* XII
*τούτων δ' ἀναγκαῖον ἀρίστην εἶναι τὴν ὑπὸ τῶν ἀρίστων οἰκονομουμένην, τοιαύτη δ' ἐστὶν ἐν ᾗ συμβέβηκεν ἢ ἕνα τινὰ συμπάντων ἢ γένος ὅλον ἢ πλῆθος ὑπερέχον εἶναι κατ' ἀρετήν, τῶν μὲν ἄρχεσθαι δυναμένων τῶν δ' ἄρχειν πρὸς τὴν αἱρετωτάτην ζωήν, ἐν δὲ τοῖς πρώτοις ἐδείχθη λόγοις ὅτι τὴν αὐτὴν ἀναγκαῖον ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολίτου τῆς πόλεως τῆς ἀρίστης, φανερὸν ὅτι τὸν αὐτὸν τρόπον καὶ διὰ τῶν αὐτῶν ἀνήρ τε γίνεται σπουδαῖος καὶ πόλιν συστήσειεν ἄν τις ἀριστοκρατουμένην*[b] *ἢ βασιλευομένην, ὥστ'*
**288b** *ἔσται καὶ παιδεία καὶ ἔθη ταὐτὰ σχεδὸν τὰ ποιοῦντα σπουδαῖον* 2
*ἄνδρα καὶ τὰ ποιοῦντα πολιτικὸν καὶ βασιλικόν. Διωρισμένων δὲ τούτων περὶ τῆς πολιτείας ἤδη πειρατέον λέγειν τῆς ἀρίστης, τίνα πέφυκε γίνεσθαι τρόπον καὶ καθίστασθαι πῶς. [Ἀνάγκη δὴ τὸν μέλλοντα περὶ αὐτῆς ποιήσασθαι τὴν προσήκουσαν σκέψιν. . . .]*

---

[a] *ἀλλὰ καὶ?* Γ (*immo* Guil.)
[b] *<ἄριστ' ἢ> ἀριστοκρατουμένην* Buecheler

---

ΚΕΦ. XII ΠΕΡΙ ΤΗΣ ΑΡΙΣΤΗΣ ΠΟΛΙΤΕΙΑΣ (ΑΤΕΛΕΣ).

[1]) Ἡ φράσις αὕτη εἶναι παρηλλαγμένη πως ἡ φράσις τῆς ἀρχῆς τοῦ VII βιβλίου τῶν Πολιτικῶν, ἐξ οὗ καὶ πολλοὶ ἐκδόται ἤχθησαν εἰς τὸ συμπέρασμα ὅτι αἱ ἐν ἀρχῇ τοῦ VII βιβλίου περίοδοι ἀποτελοῦν συνέχειαν ἐνταῦθα τοῦ Γ' βιβλίου. Βλ. Εἰσαγωγήν, I.

κληρον ἢ εἷς μόνος ἐκ τῶν ἄλλων νὰ ἀναδειχθῇ τόσον πολὺ ὑπέροχος κατ' ἀρετήν, ὥστε ἡ ἀρετὴ τούτου νὰ ὑπερέχῃ τῆς ἀρετῆς τῆς τῶν ἄλλων πάντων, τότε δίκαιον εἶναι τὸ γένος τοῦτο νὰ ἔχῃ τὴν βασιλικὴν ἐξουσίαν καὶ ὁ εἷς οὗτος ὁμοίως νὰ εἶναι βασιλεὺς καὶ κυρίαρχος πάντων. Διότι, ὡς προελέχθη, τὸ τοιοῦτον εἶναι ὀρθὸν οὐ μόνον κατὰ τὸ δίκαιον τὸ ὁποῖον ἐπικαλοῦνται οἱ ὑπερμαχοῦντες τῶν ἀριστοκρατικῶν καὶ τῶν ὀλιγαρχικῶν πολιτευμάτων, ἀλλὰ καὶ οἱ τῶν δημοκρατικῶν (διότι καθ' ὑπεροχήν τινα ἀντιποιοῦνται πάντες τοῦ δικαίου τῆς ἐξουσίας, ἡ διαφορά των δὲ ἔγκειται εἰς τὸ εἶδος τῆς ὑπεροχῆς αὐτῆς)—ἀλλὰ καὶ 13
κατὰ τὸ πρότερον λεχθέν: κατὰ τὸ ὅτι δηλαδὴ δὲν πρέπει μήτε νὰ φονεύουν ἢ ἐξορίζουν μηδὲ νὰ ἐξοστρακίζουν βέβαια τὸν τοιοῦτον, ἀλλ' οὔτε καὶ νὰ ἔχουν τὴν ἀξίωσιν νὰ κυβερνᾶται καὶ αὐτὸς μὲ τὴν σειράν του παρὰ τῶν ἄλλων· διότι δὲν εἶναι φυσικὸν νὰ ὑπερέχῃ τοῦ ὅλου τὸ μέρος, εἰς τοιαύτην δὲ θέσιν περιπίπτει ἄλλως ὁ ἔχων τὴν ὑπεροχὴν ταύτην. Κατὰ συνέπειαν τὸ μόνον ὅπερ ὑπολείπεται εἶναι νὰ πειθαρχοῦν οἱ ἄλλοι εἰς τὸν τοιοῦτον καὶ νὰ εἶναι αὐτὸς κυρίαρχος, οὐχὶ μόνον κατὰ μέρος, ἀλλ' ἀπολύτως. Περὶ τῆς βασιλείας λοιπόν, περὶ τῶν διαφόρων εἰδῶν αὐτῆς καὶ περὶ τοῦ ἐὰν αὕτη συμφέρῃ ἢ ὄχι εἰς τὰς πόλεις καὶ εἰς τίνας καὶ πῶς, ἀρκετὰ τὰ καθορισθέντα ὡς ἀνωτέρω.

18 ΚΕΦ. XII. Ἐπειδὴ δὲ τρεῖς παρεδέχθημεν ὅτι εἶναι 1
αἱ ὀρθαὶ πολιτεῖαι, καὶ κατ' ἀνάγκην ἡ ἀρίστη θὰ εἶναι ἡ ὑπὸ τῶν ἀρίστων κυβερνωμένη, τοιαύτη δὲ εἶναι ἐκείνη καθ' ἣν ἢ εἷς ἀνώτερος ὅλων ὁμοῦ τῶν ἄλλων κατ' ἀρετὴν ἢ γένος ὁλόκληρον ἢ πλῆθος πολιτῶν ὑπάρχουν καὶ πάντες οὗτοι ἔχουν δυνάμει τὴν ἰδιότητα οἱ μὲν να ἄρχωνται οἱ δὲ νὰ ἄρχουν πρὸς ἐπίτευξιν τῆς προτιμοτάτης ζωῆς· κατεδείχθη δὲ ἐπίσης διὰ τῶν ἐν ἀρχῇ λόγων μας ὅτι ἡ ἀρετὴ ἀνδρὸς καὶ πολίτου τῆς ἀρίστης πόλεως πρέπει νὰ εἶναι ἡ αὐτή· φανερὸν εἶναι ὅτι κατὰ τὸν αὐτὸν τρόπον καὶ διὰ τῶν αὐτῶν μέσων καὶ ἀνὴρ σπουδαῖος γίνεται καὶ πόλιν ἀριστοκρατουμένην ἢ βασιλευομένην δύναταί τις νὰ συστήσῃ. Συνεπῶς καὶ ἡ παιδεία καὶ τὰ ἤθη τὰ ποιοῦντα καὶ τὸν σπουδαῖον ἄνδρα καὶ τὸν πολίτην τὸν κατάλληλον διὰ τὴν «πολιτείαν» καὶ διὰ τὸ βασιλικὸν πολίτευμα, εἶναι τὰ αὐτά. Ἀφοῦ δὲ καθωρίσθησαν ταῦτα, ἂς προσπαθήσωμεν ἤδη νὰ ὁμιλήσωμεν ὅσον ἀφορᾷ εἰς τὴν ἀρίστην πολιτείαν, κατὰ τίνα τρόπον ἀναπτύσσεται αὕτη φυσικῶς καὶ πῶς ἐγκαθίσταται. [Ἀπαραίτητον λοιπὸν εἶναι ὅπως ὁ μέλλων νὰ πραγματευθῇ προσηκόντως περὶ αὐτῆς. . . .][1]